1. Index librorum traditus a Diogene Laërtio IV 4: Καταλέλοιπε δὲ (ὁ Σπεύσιππος) πάμπλειστα ὑπομνήματα καὶ διαλόγους πλείονας, ἐν οἷς καὶ Ἀρίστιππον τὸν Κυρηναῖον· Περὶ πλούτου α′, Περὶ ἡδονῆς α′, Περὶ δικαιοσύνης α′, Περὶ φιλοσοφίας α′, Περὶ φιλίας α′, Περὶ θεῶν α′, Φιλόσοφος α′, Πρὸς Κέφαλον α′, Κέφαλος α′, Κλεινόμαχος ἢ περὶ νομοθεσίας, Μαθηματικός, Μανδρόβουλος, Λυσίας α′, Πολίτης α′, Περὶ ψυχῆς α′, Πρὸς Γύλλον α′, Ἀρίστιππος α′, Τεχνῶν ἔλεγχος α′, Ὑπομνηματικοὶ διάλογοι, Τεχνικόν α′ — διάλογοι — Τῆς περὶ τὰ ὅμοια πραγματείας α′β′γ′δ′ε′ς′ζ′η′θ′ι′, Διαιρέσεις καὶ πρὸς τὰ ὅμοια ὑποθέσεις, Περὶ γενῶν καὶ εἰδῶν παραδειγμάτων, Πρὸς τὸν Ἀμάρτυρον, Πλάτωνος ἐγκώμιον, Ἐπιστολαὶ πρὸς Δίωνα, Διονύ-

De toto hoc indice v. p. 42 ss. (de codicibus p. 42); de singulis Speusippi libris ubi in hac diss. actum sit, v. conspectum p. 88 2 Suidas i. v. Σπεύσιππος: συνέγραψε πλεῖστα καὶ μάλιστα φιλόσοφα 3 πλείονας: 'complures' intell. Dan. Wyttenbach opusc. II 22 Ἀρίστιππον τὸν Κυρηναῖον: v. p. 46, 2 6 κέφαλον L(aurent. 69, 13) V(atic. 1302) edd. κεφάλαιον B(urbon. 253) Κλεοφῶντα conieci p. 41 6. 7 titulos περὶ νομοθεσίας, Μαθηματικός, Μανδρόβουλος una cum repetito Λυσίας in codd. post nomen Φίλιππον (l. 13) traditos huc transposui p. 45 7 Μανδρόβουλος: ἀνδρόβουλος L Λυσίας α′: α′ om. V 8 Γύλλον V Γύλαον B γῦλον L Γρύλλον edd.; cf. de Wilamowitz Act acad. Berol. 1904 p. 629 Ἀρίστιππος — Τεχνικόν α′ in mg. add. L^2 Ὑπομνηματικοὶ διάλογοι: v. supra p. 46 9 διάλογοι: v. p. 46 Τῆς περὶ τὰ ὅμοια πραγματείας correxi: τῶν περὶ τὴν πραγματείαν ὁμοίων codd.; v. p. 17 10 θ′ om. L

σιον, Φίλιππον, Ὅροι. Τάξεις ὑπομνημάτων· στίχοι εἰκοσάκις δὶς μυριάδες τετρακισχίλιοι ἑβδομήκοντα πέντε[1]).

13 Τάξεις ὑπομνημάτων: cf. Diog. L. IX 49: τάττουσι δέ τινες κατ' ἰδίαν ἐκ τῶν ὑπομνημάτων (Democriti) καὶ ταῦτα· τὸ περὶ τῶν ἐν Βαβυλῶνι ἱερῶν γραμμάτων κτέ. 13. 14 στίχοι εἰκοσάκις δὶς μυριάδες κτλ.: στίχοι τρεῖς καὶ τετρακισμύριοι τεσσαρακόσιοι ἑβδομήκοντα πέντε edd. numerorum signa tradita non recte interpretantes; de quibus v. p. 47.

2. A Diogene non commemorantur:

a) liber Περὶ Πυθαγορικῶν ἀριθμῶν, de quo v. fr. 4; cfr. p. 26 ss.

b) βασιλικοὶ νόμοι; quos Speusippum scripsisse tradit Athenaeus I 3 f: ὅτι Ξενοκράτης ὁ Χαλκηδόνιος καὶ Σπεύσιππος ὁ Ἀκαδημαϊκὸς καὶ Ἀριστοτέλης βασιλικοὺς νόμους ἔγραψε. Quod συμποτικοὺς νόμους posuit Schweighaeuser coll. V 186 b: τοῦ γοῦν Ξενοκράτους ἐν Ἀκαδημείᾳ καὶ πάλιν Ἀριστοτέλους συμποτικοί τινες ἦσαν νόμοι, iure oblocutus est Theod. Bergk Fünf Abhandlungen zur Gesch. d. griech. Philos. u. Astron. p. 67, 1; βασιλικοὶ νόμοι sunt leges a rege convivii (βασιλεύς, συμποσίαρχος) nominatae. De conviviis Platonis et Speusippi v. Athen. XII 548 a.

c) epigrammata; de quibus v. fr. 65 et 66.

Praeterea Speusippum carmina condidisse memoriae tradit Philostratus vit. Apoll. I 35 Σπεύσιππον τὸν Ἀθηναῖον οὕτω τι ἐρασιχρήματον γενέσθαι φασίν, ὡς ἐπὶ τὸν Κασάνδρου γάμον ἐς Μακεδονίαν κωμάσαι ποιήματα ψυχρὰ ξυνθέντα, καὶ δημοσίᾳ ταῦθ' ὑπὲρ χρημάτων ᾄσαι. Sed haec ficta esse monuit Max. Ach. Fischer De Speusippi vita (Rastadii 1845) p. 30; cf. etiam Fr. Leo Die griech.-röm. Biogr. p. 58, 4.

b) De doctrina testimonia[2]).

Cicero Acad. I 9, 34 (Antiochum Ascal. secutus) Speusippus autem et Xenocrates, qui primi Platonis rationem auctoritatem- 1 a

1) De Speusippi bibliotheca referunt Diog. L. IV 5 φησὶ δὲ καὶ Φαβωρῖνος ἐν δευτέρῳ ἀπομνημονευμάτων ὡς Ἀριστοτέλης αὐτοῦ (τοῦ Σπευσίππου) τὰ βιβλία τριῶν ταλάντων ὠνήσατο, et Gellius Noct. Att. III 17, 3 Aristotelem quoque traditum libros pauculos Speusippi philosophi post mortem eius emisse talentis Atticis tribus; ea summa fit nummi nostri sestertia duo et septuaginta milia.

2) De testimoniis 1a—d v. Zeller Philos. d. Gr. II 1 p. 995, 1; de 2a—b p. 1009, 1.

que susceperant, est post eos Polemo et Crates unaque Crantor in Academia congregati diligenter ea, quae a superioribus susceperant, tuebantur.

1 b Diogenes Laërtius IV 1 καὶ ἔμεινε (ὁ Σπεύσιππος) ἐπὶ τῶν αὐτῶν Πλάτωνι δογμάτων.

v. Fr. Leo Die griech.-röm. Biogr. p. 56 s. fin.

1 c Numenius (Περὶ τῆς τῶν Ἀκαδημαϊκῶν πρὸς Πλάτωνα διαστάσεως lib. I) apud Euseb. praep. evang. XIV 5, 1 p. 727 b ἐπὶ μὲν τοίνυν Σπεύσιππον τὸν Πλάτωνος μὲν ἀδελφιδοῦν, Ξενοκράτην δὲ τὸν διάδοχον τοῦ Σπευσίππου, Πολέμωνα δὲ τὸν ἐκδεξάμενον τὴν σχολὴν παρὰ Ξενοκράτους, ἀεὶ τὸ ἦθος διετείνετο τῶν δογμάτων σχεδόν τι ταὐτόν, ἕνεκά γε τῆς μήπω ἐποχῆς ταυτησὶ τῆς πολυθρυλήτου τε καὶ εἰ δή τινων τοιούτων ἄλλων. ἐπεὶ εἴς γε τὰ ἄλλα πολλαχῇ παραλύοντες, τὰ δὲ στρεβλοῦντες, οὐκ ἐνέμειναν τῇ πρώτῃ διαδοχῇ· ἀρξάμενοι δὲ ἀπ' ἐκείνου καὶ θᾶττον καὶ βράδιον διΐσταντο προαιρέσει ἢ ἀγνοίᾳ, τὰ δὲ δή τινι αἰτίᾳ ἄλλῃ οὐκ ἀφιλοτίμῳ ἴσως.

v. Fr. Thedinga De Numenio philos. Platon. (Bonnae 1875) p. 5 s. cf. cum hoc Numen. loco Academ. philos. ind. Hercul. col. XVIII 7 ss. (p. 67 s. Mekler): τὴν ἀπὸ Πλάτωνός τε καὶ Σπευσίππου διαμείνασαν ἕως Πολέμωνος αἵρεσιν κτέ.

1 d Eusebius (in paraphrasi loci Numenii, quem antea (1 c) exscripsi) praep. evang. XIV 4, 13 p. 726 b μετὰ δὲ Πλάτωνα Σπεύσιππον τὸν ἐξ ἀδελφῆς Πλάτωνος, τῆς Πωτώνης, εἶτα Ξενοκράτην, ἔπειτα Πολέμωνα τὴν διατριβὴν ὑποδέξασθαι. τούτους δὲ ἀφ' ἑστίας ἀρξαμένους εὐθὺς τὰ Πλατωνικά φασι παραλύειν, στρεβλοῦντας τὰ τῷ διδασκάλῳ φανέντα ξένων εἰσαγωγαῖς δογμάτων, ὥστε σοι μὴ εἰς μακρὸν ἐλπίζειν τὴν τῶν θαυμαστῶν ἐκείνων διαλόγων ἰσχὺν ἀποσβῆναι, ἅμα τε τῇ τοῦ ἀνδρὸς τελευτῇ καὶ τὴν τῶν δογμάτων διαδοχὴν συναποτελευτῆσαι.

3 Πωτώνης: Ποτώνης edd.; v. fr. 4 ad 2.

2 a Cicero de orat. III 18, 67 (secutus Antiochum Ascalon.) reliqui sunt Peripatetici et Academici; quamquam Academicorum nomen est unum, sententiae duae. Nam Speusippus Platonis sororis filius et Xenocrates, qui Platonem audierat, et qui Xenocratem, Polemo et Crantor, nihil ab Aristotele, qui una audierat Platonem, magno opere dissensit; copia fortasse et varietate dicendi pares non fuerunt.

Cicero Acad. I 4, 17 (secutus Antiochum Ascalon.) Platonis 2 b
autem auctoritate, qui varius et multiplex et copiosus fuit, una et consentiens duobus vocabulis philosophiae forma instituta est Academicorum et Peripateticorum, qui rebus congruentes nominibus differebant. nam cum Speusippum sororis filium Plato philosophiae quasi heredem reliquisset, duo autem praestantissimo studio atque doctrina Xenocratem Calcedonium et Aristotelem Stagiritem, qui erant cum Aristotele Peripatetici dicti sunt, quia disputabant inambulantes in Lycio, illi autem qui Platonis instituto in Academia, quod est alterum gymnasium, coetus erant et sermones habere soliti e loci vocabulo nomen habuerunt. eqs.

cf. Cic. Acad. II 5, 15 de fin. IV 2, 3. 5 V 3, 7. 8, 21 de leg. I 13, 38 de offic. III 4, 20.

Porphyrius vit. Pythag. p. 46, 12 Nauck.[2] πρὸς δὲ τούτοις 3
τὸν Πλάτωνα καὶ Ἀριστοτέλη Σπεύσιππόν τε καὶ Ἀριστόξενον καὶ Ξενοκράτη, ὥς φασιν οἱ Πυθαγόρειοι, τὰ μὲν κάρπιμα (i. e. τῆς Πυθαγορικῆς φιλοσοφίας) σφετερίσασθαι διὰ βραχείας ἐπισκευῆς, τὰ δ' ἐπιπόλαια καὶ ἐλαφρὰ καὶ ὅσα πρὸς διασκευὴν καὶ χλευασμὸν τοῦ διδασκαλείου ὑπὸ τῶν βασκάνως ὕστερον συκοφαντούντων προβάλλεται συναγαγεῖν καὶ ὡς ἴδια τῆς αἱρέσεως καταχωρίσαι.

v. fr. 4 ad 3. 4.

Diogenes Laërtius IV 2 οὗτος (ὁ Σπεύσιππος) πρῶτος, 4
καθά φησι Διόδωρος ἐν ἀπομνημονευμάτων πρώτῳ, ἐν τοῖς μαθήμασιν ἐθεάσατο τὸ κοινὸν καὶ συνῳκείωσε καθόσον ἦν δυνατὸν ἀλλήλοις.

v. p. 23 ss.

II. Certorum librorum fragmenta.

ΦΙΛΟΣΟΦΟΣ [1]).

Diog. Laërt. IV 4 Φιλόσοφος α'.

Diogenes Laërtius IX 23 λέγεται δὲ (ὁ Παρμενίδης) καὶ 1

[1]) Verum titulum fuisse eum, qui Speusippi librorum indice (Diog. L. IV 4) perhibetur, Φιλόσοφος, dictum p. 42.

νόμους θεῖναι τοῖς πολίταις, ὥς φησι Σπεύσιππος ἐν τῷ Περὶ φιλοσόφων.

2 νόμους θεῖναι τοῖς πολίταις: cf. Plut. advers. Colot. 1126 a; Strab. VI 1, 1.

ΠΡΟΣ ΚΛΕΟΦΩΝΤΑ.

2 Clemens Alexandr. Strom. II 4, 19 (p. 122, 23 Staehlin.) Σπεύσιππος γὰρ ἐν τῷ Πρὸς Κλεοφῶντα πρώτῳ τὰ ὅμοια τῷ Πλάτωνι ἔοικε διὰ τούτου γράφειν· 'εἰ γὰρ ἡ βασιλεία σπουδαῖον ὅ τε σοφὸς μόνος βασιλεὺς καὶ ἄρχων, ὁ νόμος λόγος ὢν ὀρθὸς σπουδαῖος'· ἃ καὶ ἔστιν.

v. p. 40 s. 3—5 cf. similem Stoicorum sententiam apud Stob. II 7, 11d p. 96, 10 ss. W. (cf. ibid. 11i p. 102, 4 ss. W.); IV 2, 11 p. 121, 13 Hens.; v. Zeller II 1 p. 1010, 2; H. Henkel Studien z. Gesch. d. griech. Lehre vom Staat (Lips. 1872) p. 18.

ΜΑΝΔΡΟΒΟΥΛΟΣ [1]).

Diog. Laërt. IV 5 Μανδρόβουλος.

3 a Aristoteles Sophistic. elench. 15. 174 b 19 ἔτι καθάπερ καὶ ἐν τοῖς ῥητορικοῖς, καὶ ἐν τοῖς ἐλεγκτικοῖς ὁμοίως τὰ ἐναντιώματα θεωρητέον ἢ πρὸς τὰ ὑφ' ἑαυτοῦ λεγόμενα, ἢ πρὸς οὓς ὁμολογεῖ καλῶς λέγειν ἢ πράττειν, ἔτι πρὸς τοὺς δοκοῦντας τοιούτους ἢ πρὸς τοὺς ὁμοίους ἢ πρὸς τοὺς πλείστους ἢ πρὸς πάντας. ὥσπερ γε καὶ ἀποκρινόμενοι πολλάκις, ὅταν ἐλέγχωνται, ποιοῦσι διττόν, ἂν μέλλῃ συμβαίνειν ἐλεγχθήσεσθαι, καὶ ἐρωτῶντας χρηστέον ποτὲ τούτῳ πρὸς τοὺς ἐνισταμένους, ἂν ὡδὶ μὲν συμβαίνῃ ὡδὶ δὲ μή, ὅτι οὕτως εἴληφεν, οἷον ὁ Κλεοφῶν ποιεῖ ἐν τῷ Μανδροβούλῳ.

3 b Anonymus in hunc locum p. 40, 8 Hayduck. ἔτι ὥσπερ ἐν τοῖς καθ' ὁμωνυμίαν οἱ ἀποκρινόμενοι ποιοῦσι πολλάκις ἐλεγχόμενοι (διαιροῦσι γὰρ ὕστερον συναισθόμενοι τῆς ἀπάτης τὸ διττόν, καὶ ὡς ἐπ' ἄλλου σημαινομένου δεδώκασιν ἢ ὃ συνῆξεν ὁ ἐρωτῶν) οὕτω καὶ τοὺς ἐρωτῶντας χρηστέον ποτὲ τούτῳ πρὸς τοὺς ἐνισταμένους τῶν ἐρωτωμένων ὡς οὐκ ἐλεγχομένους, ἂν ὡδὶ μὲν συμβαίνῃ, ὡδὶ δὲ μή, ὅτι οὕτως εἴληφε καὶ προέτεινεν ὃ συνήγαγεν, οἷον ὁ Κλεοφῶν ποιεῖ ἐν τῷ Μανδροβούλῳ (μανδραβούλῳ codd.) τῷ Πλατωνικῷ διαλόγῳ.

---

1) De hoc libro v. p. 39 ss.

ΠΕΡΙ ΠΥΘΑΓΟΡΙΚΩΝ ΑΡΙΘΜΩΝ.

Jamblichus Theologum. arithmet. p. 61, 8 Ast. ὅτι καὶ 4
Σπεύσιππος, ὁ Πωτώνης μὲν υἱὸς τῆς τοῦ Πλάτωνος ἀδελφῆς, διάδοχος δὲ Ἀκαδημείας παρὰ Ξενοκράτους, ἐκ τῶν ἐξαιρέτως σπουδασθεισῶν ἀεὶ Πυθαγορικῶν ἀκροάσεων, μάλιστα δὲ τῶν Φιλολάου συγγραμμάτων, βιβλίδιόν τι συντάξας γλαφυρὸν ἐπέγραψε μὲν αὐτὸ Περὶ Πυθαγορικῶν ἀριθμῶν, ἀπ' ἀρχῆς δὲ μέχρι ἡμίσους περὶ τῶν ἐν αὐτοῖς γραμμικῶν ἐμμελέστατα διεξελθὼν

De hoc libro disputavi p. 26 ss. 1 De Jamblicho Theol. arithm. auctore v. E. Pistelli Stud. ital. di Filol. class. V 425 ss. — De subsidiis, quibus ad emendandum hoc Speusippi fragmentum usus sum, egi p. 27; sunt autem haec:

codex Marcianus gr. 234 (M) s. XV.

codex Laurentianus pl. 71, 30 (L) s. XV.

editio Theologumen. arithmetic. princeps Parisina descripta e cod. Paris. 1943 (ap. Christian. Wechelum 1543) (p)

editio Theologumen. arithmetic. Frid. Ast (Lips. 1817), in qua hoc fr. legitur inde a p. 61, 8—63, 22.

commentarius, quem scripsit P. Tannery 'Pour l'histoire de la science hellène' (Paris. 1887) p. 374 s. 386 ss.

editio huius fragmenti, quam praebuit Herm. Diels Fragm. d. Vorsokr. I² 235, 13 ss.; cf. adnot. ad hoc fr. II² 1 p. 695.

2 Πωτώνης: Ὑποτάνης MLp Ποτώνης Harlesius (ad Fabric bibl. gr. III p. 188), scribendum Πωτώνης, cf. Diog. L. vit. Platon. rec. seminar. philol. Basileens. sodal. (in libro 'Iuvenes dum sumus' Basil. 1907) p. 1 adn. 3 διάδοχος ML δυάδος p (iam corr. Ast) Ἀκαδημίας codd. edd. παρὰ MLp πρὸ Boeckh Philolaos d. Pythagoreers Lehren (1819) p. 138, 1, Tannery l. c. p. 374, 1, Diels l. c. I² 235, 14. Cum πρό praepositio minime quadret ad vocem antecedentem διάδοχος, et διαδέχεσθαι παρά τινος usitatissimum sit, rectius forsitan παρὰ retineas et ipsius Theolog. arithm. auctoris errorem statuas Ξενοκράτους Ast ξενοκράτου MLp ἐξαιρέτως ML ἐξαιρέτου p 3. 4 ἐκ τῶν ἐξαιρέτως σπουδασθεισῶν ἀεὶ Πυθαγορικῶν ἀκροάσεων: cf. Porphyr. vit. Pythag. p. 46, 12 N. (supra p. 51) 5 Φιλολάου: cf. Theon. Smyrn. p. 106, 11 H. 7 αὐτοῖς Ast αὐτῷ ML αὐτῷ p γραμμικῶν ss.: tria numerorum genera hac libri parte Speusippum tractasse intellegimus; quorum primum est genus γραμμικῶν ἀριθμῶν, secundum πολυγωνίων τε καὶ παντοίων ἐπιπέδων ἀριθμῶν, tertium στερεῶν ἀριθμῶν. Cfr. infra l. 39 s.; Nicom. arithm. p. 82, 21 ss. 101, 5 ss.

πολυγωνίων τε καὶ παντοίων τῶν ἐν ἀριθμοῖς ἐπιπέδων ἅμα καὶ στερεῶν, περί τε τῶν πέντε σχημάτων, ἃ τοῖς κοσμικοῖς ἀποδίδοται στοιχείοις, ἰδιότητος ⟨τ'⟩ αὐτῶν ⟨καὶ⟩ πρὸς ἄλληλα [καὶ] κοινότητος, ἀναλογίας τε καὶ ἀντακολουθίας, μετὰ ταῦτα λοιπὸν θάτερον τὸ τοῦ βιβλίου ἥμισυ περὶ δεκάδος ἄντικρυς ποιεῖται, φυσικωτάτην αὐτὴν ἀποφαίνων καὶ τελεστικωτάτην τῶν ὄντων, οἷον εἶδός τι τοῖς κοσμικοῖς ἀποτελέσμασι τεχνικὸν ἀφ' ἑαυτῆς ἀλλ' οὐχ ἡμῶν νομισάντων ἢ ὡς ἔτυχε θεμένων ὑπάρχουσα⟨ν⟩ καὶ παράδειγμα παντελέστατον τῷ τοῦ παντὸς ποιητῇ θεῷ προεκκειμένη⟨ν⟩. λέγει δὲ τὸν τρόπον τοῦτον περὶ αὐτῆς·

῾ἔστι δὲ τὰ δέκα τέλειος, καὶ ὀρθῶς τε καὶ κατὰ φύσιν εἰς τοῦτον καταντῶμεν παντοίως ἀριθμοῦντες Ἕλληνές τε καὶ πάντες ἄνθρωποι οὐδὲν αὐτοὶ ἐπιτηδεύοντες· πολλὰ γὰρ ἴδια ἔχει, ἃ προσήκει τὸν οὕτω τέλειον ἔχειν, πολλὰ δὲ ἴδια μὲν οὐκ ἔστιν αὐτοῦ, δεῖ δὲ ἔχειν αὐτὰ τέλειον. πρῶτον μὲν οὖν ἄρτιον


8. 9 πολυγωνίων τε καὶ παντοίων τῶν ἐν ἀριθμοῖς ἐπιπέδων ἅμα καὶ στερεῶν Ast πολυγωνίοις τε καὶ παντοίοις τοῖς ἐν ἀριθμοῖς ἐπιπέδοις ἅμα καὶ στερεοῖς MLp 9 περί τε Ast περί τι MLp de quinque elementis mundi v. Zeller II 1 p. 1008, 1 10 τε add. Diels καὶ πρὸς ἄλληλα Tannery p. 374, 2 πρὸς ἄλληλα καὶ MLp 11 ἀνακολουθίας Ast Tannery Diels 12 τὸ del. Diels 14 τῶν κοσμικῶν ἀποτελεσμάτων Ast 15 ἔτυχεν L θεμένων ML θέλλων p, quod variis coniecturis sanare frustra conati sunt ὑπάρχουσαν Diels ὑπάρχουσα MLp 17 προεκκειμένην Diels προεκκειμένη MLp 18 τέλειος: intell. ἀριθμός 19. 20 cf. Arist. probl. 910 b 23 ss.; Aëtii placit. I 3 p. 281 Diels Doxogr. 21. 22 verba πολλὰ δὲ ἴδια μὲν οὐκ ἔστιν αὐτοῦ, δεῖ δὲ ἔχειν αὐτὰ τέλειον, quae delebant Ast, Tannery (p. 388, 1), Diels, hoc loco plane necessaria videntur esse sic interpretanda (una cum antecedentibus inde a lin. 20): 'Multa enim habet propria, quae habere numerum tam perfectum decet; multa autem (sc. quae habet) propria quidem eius non sunt, habere autem ea est numeri perfecti'. Speusippum enim re vera non de iis tantum, quae decadis propria sunt, sed etiam de iis, quae eius propria non sunt i. e. quae ei cum aliis numeris communia sunt, disputasse iis quae secuntur demonstratur; vel id, quod decas est numerus par (ἄρτιος), quod Speusippus statim initio huius de decadis virtutibus dissertationis dicit, ei cum multis aliis numeris commune est. De proprietate vero quadam decadis in sequentibus disputat inde a l. 27; atque id disertis verbis dicit l. 31: καὶ ἴδιόν πως αὐτοῦ (τοῦ δέκα) τοῦτο γέγονε τὸ ἐν πρώτῳ αὐτῷ ἴσους ἀσυνθέτους τε καὶ συνθέτους ὦφθαι.

δεῖ εἶναι, ὅπως ἴσοι ἐνῶσιν οἱ περιττοὶ καὶ ἄρτιοι καὶ μὴ ἑτερομερῶς· ἐπεὶ γὰρ πρότερος ἀεί ἐστιν ὁ περιττὸς τοῦ ἀρτίου, εἰ μὴ ἄρτιος εἴη ὁ συμπεραίνων, πλεονεκτήσει ὁ ἕτερος. ἔτι δὲ ἴσους ἔχειν χρὴ τοὺς πρώτους καὶ ἀσυνθέτους καὶ τοὺς δευτέρους καὶ συνθέτους· ὁ δὲ δέκα ἔχει ἴσους, καὶ οὐδεὶς ἂν ἄλλος ἐλάττων τῶν δέκα τοῦτο ἔπαθεν ἀριθμός, πλείων δὲ τάχα (καὶ γὰρ ὁ ιβʹ καὶ ἄλλοι τινές), ἀλλὰ πυθμὴν αὐτῶν ὁ δέκα· καὶ πρῶτος τοῦτο ἔχων καὶ ἐλάχιστος τῶν ἐχόντων τέλος τι ἔχει, καὶ ἴδιόν πως αὐτοῦ τοῦτο γέγονε τὸ ἐν πρώτῳ αὐτῷ ἴσους ἀσυνθέτους τε καὶ συνθέτους ὦφθαι· ἔχων τε τοῦτο ἔχει πάλιν ⟨ἴσους⟩ καὶ τοὺς πολλαπλασίους καὶ τοὺς ὑποπολλαπλασίους, ὧν εἰσι πολλαπλάσιοι· ἔχει μὲν γὰρ ὑποπολλαπλασίους τοὺς μέχρι πέντε, οἱ δὲ ἀπὸ τῶν ἓξ μέχρι τῶν δέκα οἱ πολλαπλάσιοι. ἐπεὶ δὲ τὰ ζʹ οὐδενός, ἐξαιρετέον· καὶ τὰ δʹ ὡς πολλαπλάσια τοῦ βʹ, ὥστε ἴσους εἶναι πάλιν. ἔτι δὲ πάντες οἱ λόγοι ἐν τῷ ιʹ, ὅ τε τοῦ ἴσου καὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος καὶ τοῦ ἐπιμορίου καὶ τῶν λοιπῶν εἰδῶν ἐν αὐτῷ, καὶ οἱ γραμμικοὶ

23 ἐνῶσιν οἱ περιττοὶ καὶ ἄρτιοι: numerorum generum eorum, quae in decade contineantur, pauca commemoravit Aristot. probl. 910 b 33 s. περιττοί: περισσοὶ codd., at cf. ἐλάττονος l. 38 et τεττάρων l. 58 et 62 (al. 24. 28) ⟨τε⟩ καὶ ἄρτιοι Ast ἑτερομερῶς MLp ἑτερομερεῖς Ast Diels 24 περισσός codd. v. ad 23 25 ἔτι correxi εἰ MLp 28 ἐλάσσων codd. v. ad 23 verba καὶ γὰρ ὁ ιβʹ καὶ ἄλλοι τινές, cum praeter ιβʹ unus tantum numerus ιδʹ ἴσους habeat τοὺς ἀσυνθέτους καὶ τοὺς συνθέτους, in suspic. vocat Tannery p. 388, 4 29 ὁ δέκα ML αἱ δέκα p 30 f. ἐχόντων ⟨ὧν⟩ 31 αὐτοῦ ML αὐτὰ p 33 ἴσους addendum propter ea quae iam sequuntur; cf. etiam l. 23 et l. 26 ss. ὑποπολλαπλασίους: cf. Nicom. arithm. I 17, 8 al. 35 οἱ δὲ — οἱ πολλαπλάσιοι correxi: τοὺς δὲ — οἱ πολλαπλάσιοι ML τοὺς δὲ — οἱ πολλαπλάσιοι αὐτῶν p τοὺς δὲ πολλαπλασίους αὐτῶν Ast; τοὺς in codd. ex οἱ fort. propter multos similes verborum antecedentium exitus ortum [ceterum Diels (v. I² 235, 38; cf. II² 1, 695) Astii verbis (in animadv. ad Theolog. p. 201) neglegenter scriptis „deinde οἱ πολλαπλάσιοι" (sc. legitur in p) in errorem adductus hanc Astii adnotationem non ad hunc locum, quo re vera in p verba οἱ πολλαπλάσιοι exstant, sed ad loci paulo superioris lin. 34 verba ὧν εἰσι πολλαπλάσιοι spectare putavit] 36 ἐπεὶ δὲ τὰ ζʹ οὐδενός: i. e. πολλαπλάσια 37 ὥστε ἴσους εἶναι πάλιν. ἔτι δὲ correxi ὥστε ἴσους εἶναι πάλιν δεῖ. ἔτι codd. edd., cf. l. 32 39 ἐπιμορίου: cf. Nicom. arithm. I 19, 1

⟨καὶ⟩ οἱ ἐπίπεδοι καὶ οἱ στερεοί· τὸ μὲν γὰρ α στιγμή, τὰ δὲ β′ γραμμή, τὰ δὲ γ′ τρίγωνον, τὰ δὲ δ′ πυραμίς· ταῦτα δὲ πάντα ἐστὶ πρῶτα καὶ ἀρχαὶ τῶν καθ' ἕκαστον ὁμογενῶν. καὶ ἀναλογιῶν δὲ πρώτη αὕτη ἐστὶν ἡ ἐν αὐτοῖς ὀφθεῖσα, ἡ τὸ ἴσον μὲν ὑπερέχουσα, τέλος δὲ ἔχουσα ἐν τοῖς δέκα. ἔν τε ἐπιπέδοις καὶ στερεοῖς πρῶτά ἐστι ταῦτα· στιγμή, γραμμή, τρίγωνον, πυραμίς· ἔχει δὲ ταῦτα τὸν τῶν δέκα ἀριθμὸν καὶ τέλος ἴσχει· τετρὰς μὲν γὰρ ἐν πυραμίδος γωνίαις ἢ βάσεσιν, ἑξὰς δὲ ἐν πλευραῖς, ὥστε δέκα· τετρὰς δὲ πάλιν ἐν στιγμῆς καὶ γραμμῆς διαστήματι καὶ πέρασιν, ἑξὰς δὲ ἐν τριγώνου πλευραῖς καὶ γωνίαις, ὥστε πάλιν δέκα. καὶ μὴν καὶ ἐν τοῖς σχήμασι κατ' ἀριθμὸν σκεπτομένῳ συμβαίνει· πρῶτον γάρ ἐστι τρίγωνον τὸ ἰσόπλευρον, ὃ ἔχει μίαν πως γραμμὴν καί γωνίαν· λέγω δὲ μίαν, διότι ἴσας ἔχει· ἄσχιστον γὰρ ἀεὶ καὶ ἑνοειδὲς τὸ ἴσον· δεύτερον δὲ τὸ ἡμιτετράγωνον· μίαν γὰρ ἔχον παραλλαγὴν γραμμῶν καὶ γωνιῶν ἐν δυάδι ὁρᾶται· τρίτον δὲ τὸ τοῦ ἰσοπλεύρου ἥμισυ τὸ καὶ ἡμιτρίγωνον· πάντως γὰρ ἄνισον καθ' ἕκαστον, τὸ δὲ πάντη αὐτοῦ τρία ἐστί. καὶ ἐπὶ τῶν στερεῶν εὑρίσκοις ἂν ἄχρι τῶν τεττάρων προϊὸν τὸ τοιοῦτο, ὥστε δεκάδος καὶ οὕτως ψαύει· γίνεται γάρ πως ἡ μὲν πρώτη πυραμὶς μίαν πως γραμμήν τε καὶ ἐπιφάνειαν ἐν ἰσότητι ἔχουσα, παρὰ ⟨. . . . .⟩ τῆς ἐπὶ τῆς βάσεως γωνίας ὑπὸ τριῶν ἐπιπέδων περιεχομένη,

40 καὶ addidi 40. 41 cf. schol. in Euclid. el. p. 78, 19 Heib. οἱ δὲ Πυθαγόρειοι τὸ μὲν σημεῖον ἀνάλογον ἐλάμβανον μονάδι, δυάδι δὲ τὴν γραμμὴν καὶ τριάδι τὸ ἐπίπεδον, τετράδι δὲ τὸ σῶμα. cf. etiam Aristot. Met. VII 11. 1036 b 12 41 γ′: τρία MLp 42. 43 Καὶ ἀναλογιῶν δὲ πρώτη: de prima sive arithmetica analogia v. Nicom. II 22, 4. 23, 1 43 αὐτή ἐστιν p τῷ ἴσῳ Ast, at cf. Nicom. p. 121, 9 H.
46 ἔχει δὲ ML ἔχει p 48 ἐν στιγμῆς καὶ γραμμῆς Ast ἐν στιγμῇ καὶ γραμμῇ ML, οὐ στιγμὴ καὶ γραμμὴ p 49 διαστήματι MLp: διαστήμασι fort. recte Ast et Diels, qui (p. 695) ad inlustrandam Speusippi argumentationem hanc addidit figuram:



51 exp. ⟨ταὐτὸ⟩ συμβ. 56 πάντη ML παντὶ p πᾶν Ast Diels, f. τὰ δὲ πάντα 58 προϊὸν correxi προϊὼν MLp 59 γίνεται ML τριὰς p edd.; de γενέσει numerorum et magnitudinum v. p. 30 ss. 60. 61 παρὰ τῆς MLp

τὴν ⟨δὲ⟩ κατὰ κορυφὴν ὑπὸ τεττάρων συγκλειομένη, ὥστε ἐκ τούτου δυάδι ἐοικέναι· ἡ δὲ τρίτη τριάδι, ἐπὶ ἡμιτετραγώνου βεβηκυῖα, καὶ σὺν τῇ ὀφθείσῃ μιᾷ ὡς ἐν ἐπιπέδῳ τῇ ἡμιτετραγώνῳ ἔτι καὶ ἄλλην ἔχουσα διαφορὰν τὴν τῆς κορυφαίας γωνίας, ὥστε τριάδι ἂν ὁμοιοῖτο, πρὸς ὀρθὰς τὴν γωνίαν ἔχουσα τῇ τῆς βάσεως μέσῃ πλευρᾷ· τετράδι δὲ ἡ τετάρτη κατὰ ταὐτά, ἐπὶ ἡμιτριγώνῳ βάσει συνισταμένη, ὥστε τέλος ἐν τοῖς δέκα λαμβάνειν τὰ λεχθέντα. τὰ αὐτὰ δὲ καὶ ἐν τῇ γενέσει· πρώτη μὲν γὰρ ἀρχὴ εἰς μέγεθος στιγμή, δευτέρα γραμμή, τρίτη ἐπιφάνεια, τέταρτον στερεόν'.

lacunam indicavi quae fort. sic potest suppleri: παρ' ὃ ⟨μονάδι ἔοικε, ἡ δὲ δευτέρα⟩ (intell. γίνεται) τὰς κτέ: περὶ τὰς ἐπὶ et 61 περιεχομένη, ⟨μονάδι, ἡ δὲ δευτέρα . . .⟩ Diels; ceterum singularum pyramidum, de quibus Speusippus hoc loco agit, formas ordinemque optime explicavit Tannery p. 390   62 δὲ addidi, possis etiam ⟨καὶ⟩ τὴν   65 γωνίας correxi γωνίαν MLp   67 κατὰ ταὐτά correxi κατὰ ταῦτα MLp   68 ἡμιτριγώνῳ Tannery p. 390, 16 ἡμιτετραγώνῳ MLp

ΟΜΟΙΑ [1]).

Diog. Laërt IV 5 Τῆς περὶ τὰ ὅμοια πραγματείας α' β' γ' δ' ε' ς' ζ' η' θ' ι'.

Liber secundus.

Athenaeus II 61 c Σπεύσιππος ἐν β' Ὁμοίων φησὶ (τὸ 5
σίον) ἐν ὕδατι γίνεσθαι, σελίνῳ ἑλείῳ τὸ φύλλον ἐοικός.

Quae ad σία pertinent, haec et sequentium Athen. enuntiatorum verba continuae Athen. de fungis disputationi interposita esse iure miratus est Kaibel in adnot.   1 φησὶ ⟨σίον⟩ ἐν Schweigh.   2 cf. Theophrast. hist. plant. 9, 11, 10 ἔχει δὲ αὕτη (ἡ λιβανωτίς) τὸ μὲν φύλλον ἐοικὸς σελίνῳ ἑλείῳ, μεῖζον δὲ πολύ.

Athenaeus II 68 e Σπεύσιππος δ' ἐν τοῖς Ὁμοίοις τὸν 6
πέπονα καλεῖ σικύαν. Διοκλῆς δὲ πέπονα ὀνομάσας οὐκέτι καλεῖ σικύαν· καὶ ὁ Σπεύσιππος δὲ σικύαν εἰπὼν πέπονα οὐκ ὀνομάζει.

---

1) v. quae de hoc opere disserui inde a p. 7. De Speusippi studio eo, quod Ὁμοίων operis fragmentis illustratur, testimonia Epicratis et auctoris epistulae Socratic. XXXVI exscripsi supra p. 19 s.

7 Athenaeus III 86 c d Σπεύσιππος δ' ἐν β' Ὁμοίων παραπλήσια εἶναι (λέγει) κήρυκας, πορφύρας, στραβήλους, κόχλους. Deinde paulo post ἔτι ὁ Σπεύσιππος ἑξῆς πάλιν ἰδίᾳ καταριθμεῖται κόγχους, κτένας, μῦς, πίννας, σωλῆνας, καὶ ἐν ἄλλῳ μέρει ὄστρεα, λεπάδας.

2 κόχλους posui pro κόγχους, v. p. 12

8 Athenaeus III 105 b Σπεύσιππος δὲ ἐν β' Ὁμοίων παραπλήσιά φησιν εἶναι τῶν μαλακοστράκων κάραβον, ἀστακόν, νύμφην, ἄρκτον, καρκῖνον, πάγουρον.

9 Athenaeus IV 133 b ἐστὶν δ' ἡ κερκώπη ζῷον ὅμοιον τέττιγι καὶ τιτιγονίῳ, ὡς Σπεύσιππος παρίστησιν ἐν δ⟨ευτέρῳ⟩ Ὁμοίων.

2 τιτιγονίῳ: τρυγονίῳ A (Marc.) C (Paris.); cf. Phot. lex. v. II p. 217 Nab. (i. v. τιτιγόνιον) δευτέρῳ: δ' codd.; v. p. 28.

10 Photius lexic. i. v. πηνίον v. II p. 88 Nab. πηνίον ζῷον ὅμοιον κώνωπι· Ἀριστοφάνης Νεφέλαις 'κείσεσθον ὥσπερ πηνίω βινουμένω', ἀντὶ τοῦ ξηροί· σκώπτει γὰρ τοὺς περὶ Χαιρεφῶντα εἰς ξηρότητα καὶ ἀσθένειαν· ὅτι δὲ κώνωπος εἶδός ἐστι, Σπεύσιππος ἐν τῷ β' τῶν Ὁμοιοτήτων φησὶν οὕτως· πηνίον, ἐμπίς, κώνωψ.

Eadem leguntur apud Suidam i. v. πηνίον 2 Ἀριστοφάνης Νεφέλαις: de hoc loco Aristophanis egerunt Meineke FCG II 2 p. 1104 et Dindorf Poët. scen. gr. 5 part. IV p. 188 b 4 β': ιβ' Suid. l. c. falso; v. p. 16, 2. 5 πηνίον: cf. Aristot. hist. an. V 19. 551 b 6

11 a Athenaeus VII 300 e Ἀριστοτέλης ἐν τῷ Περὶ ζῴων καὶ Σπεύσιππος παραπλήσιά φησιν εἶναι φάγρον, ἐρυθρῖνον, ἥπατον.

1 Ἀριστοτέλης: fr. 313 Aristot. fragm. Rose (Lips. 1886); cf. Rose Aristot. pseudep. p. 306

11 b Athenaeus VII 327 c Σπεύσιππος ἐν δευτέρῳ Ὁμοίων παραπλήσιά φησιν εἶναι φάγρον, ἐρυθρῖνον, ἥπατον.

11 c Athenaeus VII 301 c Σπεύσιππος δ' ὅμοιον φάγρῳ (φησὶν) τὸν ἥπατον.

Athenaeus VII 303 d Σπεύσιππος δ' ἐν δευτέρῳ Ὁμοίων 12
διίστησιν αὐτὰς (τὰς θυννίδας) τῶν θύννων κτέ.

Athenaeus VII 308 d Σπεύσιππος δ' ἐν δευτέρῳ Ὁμοίων 13
ἐμφερεῖς φησιν εἶναι μελάνουρον καὶ κορακῖνον.

Athenaeus VII 313 a Σπεύσιππος δ' ἐν δευτέρῳ Ὁμοίων 14 a
ὅμοιά φησιν εἶναι τῇ μαινίδι βόακα καὶ σμαρίδας κτέ.

Athenaeus VII 286 f Σπεύσιππος δὲ καὶ οἱ ἄλλοι Ἀττικοὶ 14 b
βόακας (nominant τοὺς βῶκας).

Athenaeus VII 313 e ὅμοιον δὲ εἶναι τῷ μελανούρῳ φησὶ 15
Σπεύσιππος ἐν δευτέρῳ Ὁμοίων τὸν καλούμενον ψύρον.

Athenaeus VII 318 e εἴδη δ' ἐστὶ πολυπόδων ἐλεδώνη, 16
πολυποδίνη, βολβιτίνη, ὀσμύλος, ὡς Ἀριστοτέλης ἱστορεῖ καὶ Σπεύσιππος.

2 βολβοτύνη A: corr. Rose Ἀριστοτέλης: Rose Aristot. pseudepigr. p. 300

Athenaeus VII 319 b (πέρκαι). τούτων μέμνηται Διοκλῆς 17
καὶ Σπεύσιππος ἐν δευτέρῳ Ὁμοίων, παραπλησίας εἶναι λέγων πέρκην, χάνναν, φυκίδα.

319 c: (πέρκη). καὶ ταύτης Ἐπίχαρμος ἐν Ἥβας γάμῳ μέμνηται καὶ Σπεύσιππος ἐν β' τῶν Ὁμοίων καὶ Νουμήνιος, ὧν τὰ μαρτύρια πρόκειται.

4 φυκίς pro πέρκη Casaub.

Athenaeus VII 319 d Σπεύσιππος αὐτὴν (τὴν ῥαφίδα) 18
βελόνην καλεῖ.

Athenaeus VII 323 a Σπεύσιππος δ' ἐν δευτέρῳ Ὁμοίων 19
ὡς παραπλήσια ἐκτίθεται κέστραν, βελόνην, σαυρίδα. καὶ οἱ Ἀττικοὶ δὲ ὡς ἐπὶ τὸ πολὺ τὴν σφύραιναν καλοῦσι κέστραν, σπανίως δὲ τῷ τῆς σφυραίνης ὀνόματι ἐχρήσαντο.

Athenaeus VII 323 f τοῦτο δὲ σημειωτέον πρὸς Σπεύσιππον 20
λέγοντα εἶναι ὅμοια σηπίαν, τευθίδα.

21 Athenaeus VII 324 f Σπεύσιππος δ' ἐμφερῆ φησιν εἶναι κόκκυγα, χελιδόνα, τρίγλαν.

22 Athenaeus VII 329 f Σπεύσιππος δ' ἐν β' Ὁμοίων παραπλήσιά φησιν εἶναι ψῆτταν, βούγλωσσον, ταινίαν.

23 Athenaeus IX 369 b Σπεύσιππος δ' ἐν δευτέρῳ Ὁμοίων 'ῥαφανίς', φησί, 'γογγυλίς, ῥάφυς, ἀνάρρινον ὅμοια'.

24 Athenaeus IX 387 c μνημονεύει δ' αὐτῶν (τῶν φασιανῶν) καὶ Σπεύσιππος ἐν δευτέρῳ Ὁμοίων. φασιανὸν δὲ οὗτοι κεκλήκασιν αὐτὸν καὶ οὐ φασιανικόν.

2 οὗτοι: Θεόφραστος, Ἀριστοτέλης, Σπεύσιππος.

25 Athenaeus IX 391 d καὶ Σπεύσιππος δ' ἐν δευτέρῳ Ὁμοίων χωρὶς τοῦ σ̄ κῶπας αὐτοὺς (τοὺς σκῶπας) ὀνομάζει.

26 Hesychius i. v. συβώτας· Σπεύσιππος ὁ φιλόσοφος. ζῷόν τι.

1. 2 Non recte Menagius (comm. in Diog. L. I p. 530 Huebn.) putavit vocabulum συβώτας fortasse cognomen fuisse Speusippo contumeliae causa impositum, sed cum M. Ach. Fischer (De Speus. vita p. 50) haec verba intellegenda esse apparet sic: 'συβώτας vocabulum invenitur apud Speusippum philosophum et est nomen animalis cuiusdam' (simil. Hesych. i. v. σισύμβριον· Δίδυμος ἀνθύλλιόν τι). Propter id ipsum autem e Speusippi Ὁμοίων opere, quo plurima animalium nomina enumerata fuisse fragmenta doceant, hoc nomen, quod hac quidem significatione, quantum scio, a nullo alio veterum scriptorum usurpatum est, sumptum esse fortasse recte conicio. — Vocem συβώτας, cum a nemine probabiliter explicata sit, in τροφίας mutare vult Mullach FPhG III p. 73.

ΠΛΑΤΩΝΟΣ ΕΓΚΩΜΙΟΝ [1]).

Diogenes Laërtius IV 5: Πλάτωνος ἐγκώμιον.

27 Diogenes Laërtius III 2 (Diog. L. vit. Platon. rec. seminar. philolog. Basil. sod. (Basil. 1907) p. 2, 8) Σπεύσιππος δ' ἐν τῷ Πλάτωνος ἐγκωμίῳ καὶ Κλέαρχος ἐν τῷ ἐπιγραφομένῳ Πλάτωνος περιδείπνῳ καὶ Ἀναξιλείδης ἐν τῷ δευτέρῳ Περὶ φιλοσόφων φασίν, ὡς Ἀθήνησιν ἦν λόγος, ὡραίαν οὖσαν τὴν Περικτιόνην βιάζεσθαι τὸν Ἀρίστωνα καὶ μὴ τυγχάνειν· παυόμενόν τε τῆς

1) De hoc opere egi p. 32 ss.

βίας ἰδεῖν τὴν τοῦ Ἀπόλλωνος ὄψιν· ὅθεν καθαρὰν γάμου φυλάξαι ἕως τῆς ἀποκυήσεως.

cf. Hieronym. adv. Jovin. I 42 (Migne patrolog. 23, 273): Speusippus quoque sororis Platonis filius et Clearchus in laude Platonis, et Anaxilides in secundo libro philosophiae, Perictionem matrem Platonis, phantasmate Apollinis oppressam ferunt eqs.
2. 3 Σπεύσιππος δ' ἐν τῷ ἐπιγραφομένῳ Πλάτωνος περιδείπνῳ καὶ Κλέαρχος ἐν τῷ Πλάτωνος ἐγκωμίῳ codd. edd. at v. supra p. 33 ss.
4 Ἀναξιλείδης scripsi, nomen derivatum ab Ἀναξίλεως sicut Στησιλείδης (IG II 804 b 24) a Στησίλεως (IG XII 5, 39, 6); Ἀναξιλίδης codd. et ed. Basil. (coll. Hieronym. l. c.) Ἀναξιλαΐδης Cobet 6 τυγχάνειν: ἐπιτυγχάνειν F (Laurent. gr. LXIX 13) (επι sscr. m²) De hac narratione cf. ed. Basil. ad hunc loc. testim.; v. praeterea H. Usener Weihnachtsfest p. 70 ss.; Eug. Fehrle Die Kultische Keuschheit im Altertum (Giess. 1910) p. 3 s. 25.

Apuleius de Platone et eius dogmate I 2 (p. 83, 11 ss. 28
Thomas.) talis igitur ac de talibus Plato non solum heroum virtutibus praestitit, verum etiam aequiperavit divum potestatibus. nam Speusippus domesticis documentis instructus et pueri eius acre in percipiendo ingenium et admirandae verecundiae indolem laudat et pubescentis primitias labore atque amore studendi inbutas refert et in viro harum incrementa virtutum et ceterarum convenisse testatur.

v. p. 35 s. 5 in percipiendo *vulg.*: inpertiendo *B*(*ruxell.*), in perciendo *cett. codd.* 6 pubescentis *in* pubescentes *corr. m. post. B*, pubescentes *M*(*onac.*) *V*(*atic.*).

III. Incertae sedis fragmenta.

1. Ad rationem cognitionis pertinentia.

DE SENSU

Sextus Empiricus advers. mathemat. VII 145 p. 223, 1 29
Bekker. ᾧδε μὲν καὶ Πλάτων· Σπεύσιππος δέ, ἐπεὶ τῶν πραγμάτων τὰ μὲν αἰσθητά, τὰ δὲ νοητά, τῶν μὲν νοητῶν κριτήριον ἔλεξεν εἶναι τὸν ἐπιστημονικὸν λόγον, τῶν δὲ αἰσθητῶν τὴν ἐπιστημονικὴν αἴσθησιν. ἐπιστημονικὴν δὲ αἴσθησιν ὑπείληφε καθεστάναι τὴν μεταλαμβάνουσαν τῆς κατὰ τὸν λόγον ἀληθείας. ὥσπερ γὰρ οἱ τοῦ αὐλητοῦ ἢ ψάλτου δάκτυλοι τεχνικὴν μὲν εἶχον

v. Zeller Philos. d. Gr. II 1 p. 998, 1.

ἐνέργειαν, οὐκ ἐν αὐτοῖς δὲ προηγουμένως τελειουμένην ἀλλ' ⟨ἐκ⟩ τῆς πρὸς τὸν λογισμὸν συνασκήσεως ἀπαρτιζομένην, καὶ ὡς ἡ τοῦ μουσικοῦ αἴσθησις ἐνέργειαν μὲν εἶχεν ἀντιληπτικὴν τοῦ τε ἡρμοσμένου καὶ τοῦ ἀναρμόστου, ταύτην δὲ οὐκ αὐτοφυῆ, ἀλλ' ἐκ λογισμοῦ περιγεγονυῖαν, οὕτω καὶ ἡ ἐπιστημονικὴ αἴσθησις φυσικῶς παρὰ τοῦ λόγου τῆς ἐπιστημονικῆς μεταλαμβάνει τριβῆς πρὸς ἀπλανῆ τῶν ὑποκειμένων διάγνωσιν.

9 ἐκ add. Hervetus, διὰ add. Zeller l. c.

DE MENTE

30 Proclus in prim. Euclid. Element. libr. commentar. p. 179, 8 Friedl. γνῶσις ἄρα ἐναργὴς καὶ ἀναπόδεικτος καὶ λῆψις ἀκατάσκευος διορίζουσι τά τε αἰτήματα καὶ τὰ ἀξιώματα, ὥσπερ καὶ γνῶσις ἀποδεικτικὴ καὶ λῆψις τῶν ζητουμένων μετὰ παρασκευῆς τὰ θεωρήματα τῶν προβλημάτων διέκρινεν. δεῖ γὰρ δὴ πανταχοῦ τὰς ἀρχὰς τῶν μετὰ τὰς ἀρχὰς διαφέρειν τῇ ἁπλότητι, τῷ ἀναποδείκτῳ, τῷ αὐτοπίστῳ. καθόλου γάρ, φησὶν ὁ Σπεύσιππος, ὧν ἡ διάνοια τὴν θήραν ποιεῖται, τὰ μὲν οὐδεμίαν ποικίλην ποιησαμένη διέξοδον προβάλλει καὶ προευτρεπίζει πρὸς τὴν μέλλουσαν ζήτησιν καὶ ἔχει τούτων ἐναργεστέραν ἐπαφὴν μᾶλλον ἢ τῶν ὁρατῶν ἡ ὄψις, τὰ δὲ ἐκ τοῦ εὐθέως αἱρεῖν ἀδυνατοῦσα κατὰ μετάβασιν ἐπ' ἐκεῖνα διαβαίνουσα κατὰ τὸ ἀκόλουθον αὐτῶν ἐπιχειρεῖ ποιεῖσθαι τὴν θήραν.

v. Zeller II 1 p. 998, 1; h. dissert. p. 29   7 de vocabuli θήραν (quam ed. pr. alii in θεωρίαν commutari voluerunt) apud Platonem et Platonicos usu cf. Wyttenbach. ad Eunapium p. 57
11 αἱρεῖν Mullach: αἵρειν   12 διαβάλλουσα M(onacens.), sscr. διαβαίνουσα m[2]

2. Dialectica.

DE DIVIDENDO ET DEFINIENDO [1])

31 a Aristoteles Analyt. post. II 13. 97 a 6 οὐδὲν δὲ δεῖ τὸν ὁριζόμενον καὶ διαιρούμενον ἅπαντα εἰδέναι τὰ ὄντα. καίτοι ἀδύνατόν φασί τινες εἶναι τὰς διαφορὰς εἰδέναι τὰς πρὸς ἕκαστον μὴ εἰδότα ἕκαστον. ἄνευ δὲ τῶν διαφορῶν οὐκ εἶναι ἕκαστον εἰδέναι· οὗ γὰρ μὴ διαφέρει, ταὐτὸν εἶναι τούτῳ, οὗ δὲ διαφέρει, ἕτερον τούτου. πρῶτον μὲν οὖν τοῦτο ψεῦδος· οὐ γὰρ κατὰ πᾶσαν διαφο-

1) v. Zeller p. 996, 2 et supra p. 24 s.

ρὰν ἕτερον· πολλαὶ γὰρ διαφοραὶ ὑπάρχουσι τοῖς αὐτοῖς τῷ εἴδει, ἀλλ' οὐ κατ' οὐσίαν οὐδὲ καθ' αὑτά. εἶτα ὅταν λάβῃ τἀντικείμενα καὶ τὴν διαφορὰν καὶ ὅτι πᾶν ἐμπίπτει ἐνταῦθα ἢ ἐνταῦθα, καὶ λάβῃ ἐν θατέρῳ τὸ ζητούμενον εἶναι, καὶ τοῦτο γινώσκῃ, οὐδὲν διαφέρει εἰδέναι ἢ μὴ εἰδέναι ἐφ' ὅσων κατηγοροῦνται ἄλλων αἱ διαφοραί. φανερὸν γὰρ ὅτι ἂν οὕτω βαδίζων ἔλθῃ εἰς ταῦτα ὧν μηκέτι ἐστὶ διαφορά, ἕξει τὸν λόγον τῆς οὐσίας. τὸ δ' ἅπαν ἐμπίπτειν εἰς τὴν διαίρεσιν, ἂν ᾖ ἀντικείμενα ὧν μή ἐστι μεταξύ, οὐκ αἴτημα· ἀνάγκη γὰρ ἅπαν ἐν θατέρῳ αὐτῶν εἶναι, εἴπερ ἐκείνου διαφορὰ ἔσται.

Anonymus ad hunc locum (p. 97 a 6) p. 584, 17 Wallies. **31 b**

Σπευσίππου ταύτην τὴν δόξαν Εὔδημος εἶναι λέγει τὴν ὅτι ὁρίσασθαι ἀδύνατόν ἐστί τι τῶν ὄντων μὴ πάντα τὰ ὄντα εἰδότα. ἐπεὶ δὲ δοκεῖ πιθανότητά τινα εἰσφέρειν, τίθησιν αὐτήν. ἔστι γὰρ ὁ λόγος ὁ τοῦτο οἰόμενος δεικνύναι τοιοῦτος· δεῖ τὸν ὁριζόμενόν τι εἰδέναι τὴν πρὸς τὰ διαφέροντα αὐτοῦ πάντα διαφοράν· οὗ μὲν γὰρ μὴ διαφέρει τι, τούτῳ ταὐτόν ἐστιν, οὗ δὲ διαφέρει, ἕτερον. τὸν δὴ ὁριζόμενόν τι ὡς διαφέρον τῶν ἄλλων δεῖ εἰδέναι αὐτοῦ τὰς διαφορὰς αἷς τῶν ἄλλων διαφέρει· μὴ γὰρ εἰδώς τις τοῦτο καὶ τὸ ταὐτὸν ἕτερον καὶ τὸ ἕτερον ταὐτὸν ἡγήσεται. οὕτως δ' οὐδ' ἀποδώσει τὴν οἰκείαν τινὸς οὐσίαν· ἂν γὰρ οὕτω τύχῃ, οὐδὲν κωλύει τὸν ἀποδιδόμενον λόγον κοινὸν εἶναι καὶ ἄλλων τινῶν. ἀλλὰ μὴν ἀδύνατον τὴν πρός τινα διαφοράν τινος εἰδέναι μὴ εἰδότα κἀκεῖνα ὧν τὸ προκείμενον διαφέρει. δεῖ ἄρα πάντα εἰδέναι τὸν ὁριζόμενόν τι, καὶ γὰρ καὶ τοῦτο ⟨ὃ⟩ ὁρίζεται ὁ ὁριζόμενος (πῶς γὰρ ἂν αὐτὸ ὁρίσαιτο;) καὶ τἆλλα πάντα ὧν ὡς ἕτερον ὂν αὐτὸ ὁρίζεται. ὅτι δὲ μὴ ὑγιὴς ὁ λόγος οὗτος μηδ' ἀνάγκη τὸν ὁριζόμενόν τι πάντα τὰ ὄντα εἰδέναι, δείκνυσι.

Anonymi fragmentum praeposui fragmento Philoponi, quod secundum Walliesii praef. p. V adn. 4 ille hoc aetate superior esse videtur. Ceterum haec scholia ex Alexandri Aphrodis. commentario deperdito delibata esse in eadem adnot. suspicatus est Walliesius. 16 τοῦτο ὃ Wallies.: τούτῳ R (Laurent.) U (Marc.) a (Ald.)

Joannes Philoponus qu. d. ad hunc locum p. 405, 27 Wallies. **31 c**

τοῦτο λέγει ἀναιρῶν τοὺς λόγους δι' ὧν ἐπεχείρει ὁ Σπεύσιππος ἀναιρῆσαι καὶ τὴν διαίρεσιν καὶ τοὺς ὁρισμούς· ἐπεχείρει γὰρ οὗτος δεικνύειν, ὡς οὐκ ἔστιν ἀποδοῦναι ὁρισμόν τινος, λέγων

1 J. Philop. qu. d.: v. Wallies. praef. p. V

ὡς ὁ θέλων δι' ὁρισμοῦ παραστῆσαι τὴν φύσιν τοῦ ἀνθρώπου ἢ τοῦ ἵππου ἢ ἄλλου τινὸς ὀφείλει γινώσκειν πάντα τὰ ὄντα καὶ τὰς διαφορὰς αὐτῶν καθ' ἃς διαφέρουσιν ἀλλήλων· οὕτως γὰρ παρίσταται ἡ φύσις τοῦ ἀνθρώπου ἢ τοῦ ἵππου ἢ ἄλλου τινὸς ἐν τῷ χωρίζεσθαι τῶν ἄλλων πάντων· τὸ δὲ χωριζόμενον διά τινων διαφορῶν δεῖ χωρίζεσθαι. ἐπεὶ δὲ ἀδύνατον πάντα τὰ ὄντα γινώσκειν ἢ τὰς διαφορὰς αὐτῶν, λοιπὸν δι' ὁρισμοῦ παραστῆσαί τι ἀδύνατον.

deinde ad p. 97 a 11 p. 406, 16 W. εἰπὼν τοὺς λόγους, δι' ὧν ὁ Σπεύσιππος ἀνέτρεπε τοὺς ὁρισμοὺς καὶ τὰς διαιρέσεις, νῦν πρὸς ἀνατροπὴν χωρεῖ ἑνὸς ἑκάστου τῶν ἐπιχειρημάτων αὐτοῦ. ἔλεγε γάρ· πᾶς ὁ ὁριζόμενος ἢ διαιρῶν ἀνάγκην ἔχει γινώσκειν πάντα τὰ ὄντα καὶ κατὰ τί ἀλλήλων διαφέρουσιν· εἰ γὰρ ὁ ὁρισμὸς χωρίζει τὸ πρᾶγμα ἀπὸ πάντων τῶν ὄντων, ἀνάγκη γινώσκειν τὸν διοριζόμενον τὰς διαφορὰς καθ' ἃς ἕκαστον τῶν ὄντων ἕτερον τοῦ ὁριστοῦ ἐστι· πᾶν γὰρ τὸ διαφέρον τινὸς ἕτερόν ἐστιν ἐκείνου. καὶ πρῶτον μὲν ἐλέγχει τοῦτον ψευδόμενον ὡς ἀγνοοῦντα τὰ τῆς διαφορᾶς σημαινόμενα· κτλ. cf. etiam p. 406, 31 (ad Aristot. p. 97 a 14) et p. 407, 31 (ad Aristot. p. 97 a 19) W., ubi eiusdem sententiae Speusippi mentio fit.

31 d Themistius in paraphrasi p. 58, 4 Wallies. nil nisi Speusippi nomen addit.

31 e Eustratius in hunc locum p. 202, 17 Hayduck. ἐπεὶ δὲ Σπεύσιππος πιθανόν τινα λόγον εἰσαγαγεῖν ἔοικε, δι' οὗ τὴν ὁριστικὴν ἐπειρᾶτο ἀνελεῖν καὶ δεῖξαι ἀδύνατον τὸ ὁρίζεσθαι, χρὴ μὴ παρελθεῖν τὸν λόγον ἀνεπισκόπητον, ὥσπερ τι πρόσκομμα κείμενον εἰς ἐμποδισμὸν τῆς κατὰ τὴν ἐπιστήμην προόδου, ἀλλ' ἐξελεῖν ἐκ μέσου τοῖς ἐκ τῆς ἀληθείας ἐλέγχοις. ὁ σκοπός, φησί, τοῦ ὁρίζεσθαι τὴν ἰδίαν οὐσίαν παραστῆσαι τοῦ ὁριστοῦ· τοῦτο δ' οὐκ ἂν ἄλλως γένοιτο, εἰ μή τις αὐτὸ τῷ λόγῳ τῶν λοιπῶν διαστήσειεν. οὐκ ἂν δὲ διαστήσοι μὴ τὰς διαφορὰς εἰδὼς τὰς πρὸς ἕκαστα. οὐκ ἂν δὲ τὰς διαφορὰς εἰδείη τὰς πρὸς ἕκαστα, εἰ μὴ εἰδείη ἕκαστον. ὥσθ' ἵν' ἕν τι ὁρίσαιτό

5 εἰς ἐμποδισμὸν om. E(scorial.) 9 μὴ Hayduck.: ἢ 10 ἕκαστον E

τις, εἰδέναι αὐτὸν δέον ἕκαστον. ὅτι δ' ἀναγκαῖον εἰδέναι τὰς διαφορὰς τὰς πρὸς ἕκαστον τοῦ προκειμένου τὸν διὰ τοῦ ὁρισμοῦ διιστᾶν αὐτὸ τῶν ἄλλων ἐθέλοντα, δῆλον. εἰ γὰρ μή ἐστι διαφορὰ πρὸς ἕκαστον, οὐδὲν διαφέρει πρὸς ἕκαστον· διαφορᾷ γὰρ διαφέρει τὸ διαφέρον· εἰ δὲ μὴ διαφέρει πρὸς ἕκαστον, ταὐτὸν ἑκάστῳ. ἀλλὰ μὴν ἕτερον· ἔστιν ἄρα διαφορά. εἰ δὲ ἔστι, δεῖ ταύτην εἰδέναι· ἄλλως γὰρ οὐδ' ὅτι διοίσει ἑκάστου εἴσεται, οὐδ' ἄρα λόγον ἀποδώσει τὸν αὐτὸ τῶν ἄλλων χωρίζοντα. ἵνα ἄρα ὁρισθῇ τι, δεῖ πάντα εἰδέναι. οὗτος μὲν ὁ λόγος Σπευσίππου, δι' οὗ ἐδόκει ἀναιρεῖν τὸ ὁρίζεσθαι. καὶ πρῶτον μὲν τοῦτο σεσοφισμένον κτλ.

Sequitur longa Eustratii adversus hanc Speusippi doctrinam disputatio inde a p. 202, 34—p. 203, 33; in qua Speusippi ipsum nomen commemoratur p. 203, 6 (πρῶτον δὴ Σπευσίππου τοῦτο ἁμάρτημα) et p. 203, 23 (ἀλλ' οὐδὲ τοῦτο λέγειν οἱ περὶ Σπεύσιππον ἔξουσιν).

Deinde ad eundem Aristot. locum dicit p. 203, 35 H. παραδοὺς ἡμῖν (ὁ 'Αριστοτέλης) τὴν περὶ τῆς θήρας τοῦ ὁρισμοῦ μέθοδον, ἔτι τε διδάξας ὅπως εἰς αὐτὸν ἡ διαίρεσις συντελεῖ, ζήτησίν τινα λύει κατά τε τῆς διαιρέσεως καὶ τοῦ ὅρου κεκινημένην, ἣν δὴ κεκίνηκε Σπεύσιππος ἀνελεῖν καὶ ἄμφω βουλόμενος. ἵνα γάρ τις, φησὶν ἐκεῖνος, διαιρῶν τὸν ὅρον συστήσεται, δεῖ τοῦτον πάντα εἰδέναι· τοῦτο δὲ ἀδύνατον, ὥστε καὶ τὸ διαιρεῖν καὶ ὁρίζεσθαι. πρὸς ὅπερ ὁ φιλόσοφος ἀντιτίθησιν ὅτι οὐκ ἔστι χρεία τῆς ἁπάντων γνώσεως τῷ ὁριζομένῳ ἢ διαιρουμένῳ. καὶ τοῦτο δείκνυσιν ἐφεξῆς, πρότερον τὸν λόγον ἐκθέμενος, δι' οὗ ἀναιρεῖν ὁ Σπεύσιππος ἐπειρᾶτο καὶ ὁρισμὸν καὶ διαίρεσιν.

cf. etiam quae Eustratius inde a p. 204, 6 usque ad p. 205, 20 Hayd. ad hunc Aristot. locum scripsit; Speusippi nomen invenimus p. 204, 28 (φασὶν οἱ περὶ Σπεύσιππον) et p. 205, 15 (ὡς κακῶς εἰπόντος Σπευσίππου ἕτερον εἶναι τῇ φύσει τὸ διαφέρον ἁπλῶς).

14 διιστάναι E   35 ἀντιτίθησιν — 36 ὁριζομένῳ om. E

DIVISIO NOMINUM[1])

Simplicius in Aristot. Categor. 1 a 12 p. 38, 11 Kalbfleisch. 32 a
εἰρηκὼς τοίνυν ὁ 'Αριστοτέλης περὶ ὁμωνύμων καὶ συνωνύμων καὶ παρωνύμων παρῆκεν τά τε ἑτερώνυμα καὶ τὰ πολυώνυμα, τὰ μὲν πολυώνυμα,

1) v. supra p. 24 s.

διότι . . . . πληθύει, τὰ δὲ ἑτερώνυμα, διότι . . . . διαιρεῖται τὰ νῦν. καὶ μέντοι ἄμφω ταῦτα παρῆκεν, ὡς εἴρηται, διότι ῥητορικῆς μᾶλλον καὶ ποιητικῆς ἐστι περιεργίας, ἀλλ' οὐ φιλοσόφου θεωρίας, ὡς εἴρηται. πλὴν καλῶς ἔχει καὶ ἐκεῖνα τοῖς παραληφθεῖσιν εἰς μίαν διαίρεσιν συμπεριλαβεῖν. Σπεύσιππον τοίνυν ἱστορεῖ Βόηθος τοιαύτην διαίρεσιν παραλαμβάνειν τὰ ὀνόματα πάντα περιλαμβάνουσαν. τῶν γὰρ ὀνομάτων, φησί, τὰ μὲν ταὐτώνυμά ἐστιν, τὰ δὲ ἑτερώνυμα· καὶ τῶν ταὐτωνύμων τὰ μὲν ὁμώνυμά ἐστιν, τὰ δὲ συνώνυμα, κατὰ τὴν τῶν παλαιῶν συνήθειαν ἀκουόντων ἡμῶν τὰ συνώνυμα· τῶν δὲ ἑτερωνύμων τὰ μὲν εἶναι ἰδίως ἑτερώνυμα, τὰ δὲ πολυώνυμα, τὰ δὲ παρώνυμα. ἀλλὰ περὶ μὲν τῶν ἄλλων ἀποδέδοται, πολυώνυμα δέ ἐστιν τὰ διάφορα καὶ πολλὰ ὀνόματα καθ' ἑνὸς πράγματος, ὅταν εἷς καὶ ὁ αὐτὸς αὐτῶν ᾖ λόγος, ὥσπερ ἄορ ξίφος μάχαιρα φάσγανον· ἑτερώνυμα δέ ἐστιν τὰ καὶ τοῖς ὀνόμασιν καὶ τοῖς πράγμασιν καὶ τοῖς λόγοις ἕτερα, οἷον γραμματικὴ ἄνθρωπος ξύλον.

v. Zeller p. 997, 1. Simplicium hanc Speusippi nominum divisionem non e Boëtho ipso sumpsisse, sed e Porphyrii, qui eam e Boëtho descripsit, Πρὸς Γεδάλειον libris accepisse apparet e loco Simplicii p. 36, 25 ss. K. (= fr. 32 c), ubi v. adn. ad lin. 2   9. 10 τῶν γὰρ ὀνομάτων κτλ.: haec Speusippi nominum divisio sec. Petr. Lambecium commentar. de bibl. Vindob. lib. VII (Vindob. 1675) p. 185 etiam exstat in cod. Vind. phil. 314 (Phil. 77 ap. Lambec.) fol. 110 v.; nam ibi ille testatur legi haec: Ἡ Σπευσίππου διαίρεσις. Τῶν ὀνομάτων τὰ μέν ἐστι ταὐτώνυμα, τὰ δὲ ἑτερώνυμα· τῶν δὲ ταὐτωνύμων τὰ μέν ἐστι ὁμώνυμα, τὰ δὲ συνώνυμα. τῶν δὲ ἑτερονύμων κτλ. Quae fortasse ex ipso Simplicio excerpta sunt. Cf. etiam J. H. Chr. Schubart, Zeitschr. f. d. Altert.wiss. 1834 col. 1140 adn.

32 b Idem in Categ. 1 a 1. 2 (i. e. in verba Aristot. ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος) p. 28, 31 K. πᾶς οὖν ὅρος κατὰ τὸ ὄνομα γίνεται, ἵνα καὶ ἀντιστρέφῃ πρὸς τὸ ὄνομα. τὰ μέντοι ὁμώνυμα . . . . ὑποκείμενον. (p. 29, 5) Σπεύσιππος δέ, ὥς φασιν, ἠρκεῖτο λέγειν 'ὁ δὲ λόγος ἕτερος'. καίτοι εἴ τις οὕτως ἀποδοίη, καὶ τὰ συνώνυμα ὁμώνυμα ἔσται καὶ τὰ ὁμώνυμα συνώνυμα. ἡμῖν γὰρ καὶ τοῖς ἵπποις ὄνομα κοινόν, τὸ ζῷον, οἱ δὲ λόγοι ἕτεροι, καθὸ ἄνθρωπος καὶ ἵππος· ἔσται οὖν τὸ συνώνυμον ὁμώνυμον. καὶ πάλιν ὁ θαλάττιος κύων καὶ ὁ χερσαῖος κατὰ τὸ ζῷον τὸν αὐτὸν ἔχουσι λόγον, καὶ ἔσται τὰ ὁμώνυμα συνώνυμα, διότι οὐ καθ' ὃ ἦν ὁμώνυμα, κατὰ τὸν κύνα, ἀπεδόθη αὐτῶν ὁ ὁρισμός, ἀλλὰ κατὰ τὸ ζῷον. ἀναγκαῖα οὖν ἡ τοῦ κατὰ τοὔνομα προσθήκη.

Idem in Categ. 1 a 6 p. 36, 25 K. (ex Porphyrii Πρὸς 32 c
Γεδάλ. libris) 'ἔνθα δὲ περὶ τὰς πλείους φωνὰς ἡ σπουδὴ καὶ τὴν πολυειδῆ ἑκάστου ὀνομασίαν, ὥσπερ ἐν τῷ Περὶ ποιητικῆς καὶ τῷ τρίτῳ Περὶ ῥητορικῆς, τοῦ ἑτέρου συνωνύμου δεόμεθα, ὅπερ πολυώνυμον ὁ Σπεύσιππος ἐκάλει. καὶ οὐ καλῶς ὁ Βόηθος παραλελεῖφθαι τῷ Ἀριστοτέλει φησὶ τὰ παρὰ τοῖς νεωτέροις καλούμενα συνώνυμα, ἅπερ Σπεύσιππος ἐκάλει πολυώνυμα. οὐ γὰρ παραλέλειπται, ἀλλ' ἐν ἄλλαις πραγματείαις, ἐν αἷς ἦν οἰκεῖος ὁ λόγος, παρείληπται.'

3 Περὶ ποιητικῆς: fr. 4 Vahl. (= rhet. 3, 2. 1404 b 39)

3. Ad primam philosophiam pertinentia.

DE ESSENTIIS et PRIMIS RERVM PRINCIPIIS [1]).

Aristoteles Metaph. VII 2. 1028 b 18 ἔτι παρὰ τὰ αἰσθητὰ 33 a
οἳ μὲν οὐκ οἴονται εἶναι οὐδὲν τοιοῦτον, οἳ δὲ πλείω καὶ μᾶλλον ὄντα ἀΐδια, ὥσπερ Πλάτων τά τ' εἴδη καὶ τὰ μαθηματικὰ δύο οὐσίας, τρίτην δὲ τὴν τῶν αἰσθητῶν σωμάτων οὐσίαν. Σπεύσιππος δὲ καὶ πλείους οὐσίας ἀπὸ τοῦ ἑνὸς ἀρξάμενος, καὶ ἀρχὰς ἑκάστης οὐσίας ἄλλην μὲν ἀριθμῶν, ἄλλην δὲ μεγεθῶν, ἔπειτα ψυχῆς· καὶ τοῦτον δὴ τὸν τρόπον ἐπεκτείνει τὰς οὐσίας.

4 καὶ om. A^b (Laur. 87, 12) 5 ἑκάστης οὐσίας deleri vult Christ. coll. Ps. Alex. p. 462, 35 H.; at v. Arist. Met. XII 10. 1075 b 38 s. verba (fr. 33 e): καὶ οὕτως αἰεὶ ἄλλην ἐχομένην οὐσίαν καὶ ἀρχὰς ἑκάστης ἄλλας.

Ps. Alexander ad hunc locum p. 462, 34 Hayduck. Σπεύσιππος δὲ ὁ 33 b
τούτου (Πλάτωνος) μαθητὴς καὶ πλείω τῶν τριῶν ἔλεγεν εἶναι τὰς οὐσίας τὰς νοητάς, πρώτην μὲν τὸ αὐτοέν, ἄλλην δὲ τὴν τῶν ἀριθμῶν ἀρχήν, ἄλλην τὴν τῶν μεγεθῶν, καὶ ἄλλην τὴν τῆς ψυχῆς· καὶ οὕτως ἐπεκτείνει εἰς πλῆθος τὰ γένη τῶν οὐσιῶν.

Asclepius ad hunc locum p. 379, 12 Hayduck. Σπεύσιππος δὲ καὶ 33 c
πλείους οὐσίας ὑποτίθεται ἀπὸ τοῦ ἑνὸς ἀρξάμενος, καὶ ἀρχὰς καὶ οὐσίας· ἄλλην γὰρ οὐσίαν λέγει εἶναι τῶν ἀριθμῶν καὶ ἄλλην τῶν μεγεθῶν καὶ ἄλλην ψυχῆς καὶ ⟨διὰ⟩ τούτων ἐπεκτείνει τὰς οὐσίας.

2 ἀρχὰς ἑκάστης οὐσίας Aristot. 4 διὰ supplevi

Idem ad Met. 1028 b 2 p. 377, 34 Hayduck. ὁμοίως καὶ οἱ περὶ Σπεύ- 33 d
σιππον καὶ Ξενοκράτην. καὶ ὁ μὲν Σπεύσιππος πολλὰς ἔλεγεν εἶναι

---

1) v. Zeller p. 1000, 2. 1002, 1; cf. fr. 50.

οὐσίας· ἄλλην γὰρ οὐσίαν ἔλεγεν εἶναι μεγεθῶν καὶ ἄλλην ἀριθμῶν, καὶ ἐπὶ πάντων τῶν ὁμοίων, καὶ πάλιν ἄλλην οὐσίαν νοῦ καὶ ἄλλην ψυχῆς, καὶ ἄλλην σημείου καὶ ἄλλην γραμμῆς καὶ ἄλλην ἐπιφανείας, ἐπειδή, φησί, διαφόρως ἐδόξασαν οἱ πρὸ ἡμῶν.

33 e Aristoteles Metaph. XII 10. 1075 b 37 οἱ δὲ λέγοντες τὸν ἀριθμὸν πρῶτον τὸν μαθηματικὸν καὶ οὕτως αἰεὶ ἄλλην ἐχομένην οὐσίαν καὶ ἀρχὰς ἑκάστης ἄλλας, ἐπεισοδιώδη τὴν τοῦ παντὸς οὐσίαν ποιοῦσιν (οὐδὲν γὰρ ἡ ἑτέρα τῇ ἑτέρᾳ συμβάλλεται οὖσα ἢ μὴ οὖσα) καὶ ἀρχὰς πολλάς· τὰ δὲ ὄντα οὐ βούλεται πολιτεύεσθαι κακῶς. 'οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω'.

Ad Speusippum hunc locum rettulerunt viri docti (v. Zeller p. 1002, 1), ad Pythagoreos Ps. Alex. (p. 721, 11 ss. H.).
3 vocabulo ἐπεισοδιώδης Aristoteles usus est etiam Met. 1090 b 19 (Speus. fr. 50), Theophrastus de prim. philos. p. IV a 13 Us.: εὐλογώτερον δ' οὖν εἶναί τινα συναφὴν καὶ μὴ ἐπεισοδιῶδες τὸ πᾶν.

DE BONO [1]

34 a Aristoteles Metaph. XII 7. 1072 b 30 ὅσοι δὲ ὑπολαμβάνουσιν, ὥσπερ οἱ Πυθαγόρειοι καὶ Σπεύσιππος, τὸ κάλλιστον καὶ ἄριστον μὴ ἐν ἀρχῇ εἶναι, διὰ τὸ καὶ τῶν φυτῶν καὶ τῶν ζῴων τὰς ἀρχὰς αἴτια μὲν εἶναι, τὸ δὲ καλὸν καὶ τέλειον ἐν τοῖς ἐκ τούτων, οὐκ ὀρθῶς οἴονται. τὸ γὰρ σπέρμα ἐξ ἑτέρων ἐστὶν προτέρων τελείων, καὶ τὸ πρῶτον οὐ σπέρμα ἐστίν, ἀλλὰ τὸ τέλειον· οἷον πρότερον ἄνθρωπον ἂν φαίη τις εἶναι τοῦ σπέρματος, οὐ τὸν ἐκ τούτου γενόμενον, ἀλλ' ἕτερον ἐξ οὗ τὸ σπέρμα.

34 b Ps. Alexander ad hunc locum p. 699, 28 Hayd. δείξας ὅτι ὁ θεὸς ἡ πρώτη ἀρχὴ ζῷον ἀΐδιον ἄριστόν ἐστιν, αἰτιᾶται τοὺς Πυθαγορείους καὶ Σπεύσιππον εἰπόντας ὅτι τὸ κάλλιστον καὶ ἄριστον οὐκ ἔστιν ἐν ἀρχῇ, οὐδὲ δυνατὸν λέγειν τὴν ἀρχὴν ἄριστον, διότι τὸ σπέρμα καὶ τὸ καταμήνιον ἀρχαὶ μέν εἰσι τῶν ζῴων καὶ ουκ εἰσὶν ἄριστα, ἀλλ' ἔστι μᾶλλον ἄριστον τὸ ἐκ τοῦ σπέρματος καὶ τοῦ καταμηνίου γεγονός· οὐκ ὀρθῶς οὖν, φησίν, οἴονται κτέ.

34 c Themistius ad hunc locum p. 24, 24 Landauer. at iam aliqui sunt opinati pulcherrimum et optimum non esse in initio rei, ut secta Pythagoreorum et Leucippus (leg. Speusippus) opinati sunt principia animalium et plantarum causas quidem esse, ut sint, pulcherrimum autem et perfectissimum minime esse in semine,

1) v. Zeller p. 999, 1.

sed tempore perfectionis. At non verum est, quod opinantur. eqs.

3 Pro Leucippus legend. esse Speusippus vid. A. B. Krische Forschungen auf d. Gebiet d. alt. Philos. (Gotting. 1840) p. 250, 1.

Philoponus ad hunc locum (comment. in Aristot. Metaph. lat. ex **34 d**
interpret. F. Patricii, Ferrariae 1583) p. 51 v. col. a. deinde accusat Leucippum (leg. Speusippum) dicentem, quod non oporteat dicere optimum in principiis; principia enim semper imperfecta, potentia cum sint. et solvit rationem. Sane, sed principium Socratis Sophroniscus, sed non semen simplex.

3 De v. Leucippum v. ad fr. 34c

Aristoteles Metaph. XIV 5. 1092 a 9 εἰ οὖν καὶ τὸ μὴ **34 e**
τιθέναι τὸ ἀγαθὸν ἐν ταῖς ἀρχαῖς καὶ τὸ τιθέναι οὕτως ἀδύνατον, δῆλον ὅτι αἱ ἀρχαὶ οὐκ ὀρθῶς ἀποδίδονται οὐδὲ αἱ πρῶται οὐσίαι. οὐκ ὀρθῶς δ' ὑπολαμβάνει οὐδ' εἴ τις παρεικάζει τὰς τοῦ ὅλου ἀρχὰς τῇ τῶν ζῴων καὶ φυτῶν, ὅτι ἐξ ἀορίστων ἀτελῶν δὲ αἰεὶ τὰ τελειότερα, διὸ καὶ ἐπὶ τῶν πρώτων οὕτως ἔχειν φησίν, ὥστε μηδὲ ὄν τι εἶναι τὸ ἓν αὐτό. εἰσὶ γὰρ καὶ ἐνταῦθα τέλειαι αἱ ἀρχαὶ ἐξ ὧν ταῦτα· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, καὶ οὐκ ἔστι τὸ σπέρμα πρῶτον.

3 αἱ om. E (Paris. gr. 1853) 5 δὲ: fort. leg. τε 6 φησίν A[b] (Laur. 87, 12) E: φασίν Ald. et fort. Alex.; cf. 1091 b 32 et 1072 b 31

Aristoteles Metaph. XIV 4. 1091 a 30 ἔχει δ' ἀπορίαν καὶ **34 f**
εὐπορήσαντι ἐπιτίμησιν, πῶς ἔχει πρὸς τὸ ἀγαθὸν καὶ τὸ καλὸν τὰ στοιχεῖα καὶ αἱ ἀρχαί· ἀπορίαν μὲν ταύτην, πότερόν ἐστί τι ἐκείνων οἷον βουλόμεθα λέγειν αὐτὸ τὸ ἀγαθὸν καὶ τὸ ἄριστον, ἢ οὔ, ἀλλ' ὑστερογενῆ. παρὰ μὲν γὰρ τῶν θεολόγων ἔοικεν ὁμολογεῖσθαι τῶν νῦν τισιν, οἳ οὔ φασιν, ἀλλὰ προελθούσης τῆς τῶν ὄντων φύσεως καὶ τὸ ἀγαθὸν καὶ τὸ καλὸν ἐμφαίνεσθαι. τοῦτο δὲ ποιοῦσιν εὐλαβούμενοι ἀληθινὴν δυσχέρειαν, ἣ συμβαίνει τοῖς λέγουσιν, ὥσπερ ἔνιοι τὸ ἓν ἀρχήν. ἔστι δὲ ἡ δυσχέρεια οὐ διὰ τὸ τῇ ἀρχῇ τὸ εὖ ἀποδιδόναι ὡς ὑπάρχον, ἀλλὰ διὰ τὸ τὸ ἓν ἀρχὴν καὶ ἀρχὴν ὡς στοιχεῖον καὶ τὸν ἀριθμὸν ἐκ τοῦ ἑνός.

DE UNO (MULTITUDINI OPPOSITO[1])) ET BONO[2])

Aristoteles Metaph. XIV 4. 1091 b 30 ταὐτά τε δὴ συμ- **35 a**
βαίνει ἄτοπα, καὶ τὸ ἐναντίον στοιχεῖον, εἴτε πλῆθος ὂν εἴτε τὸ ἄνισον καὶ μέγα καὶ μικρόν, τὸ κακὸν αὐτό. διόπερ ὁ μὲν ἔφευγε τὸ ἀγα-

1) De uno et multitudine v. Zeller p. 1001, 2 et cf. fr. 48a—c et 49.

2) De uno et bono v. Zeller p. 999, 2; cf. fr. 38.

θὸν προσάπτειν τῷ ἑνὶ ὡς ἀναγκαῖον ὄν, ἐπειδὴ ἐξ ἐναντίων ἡ γένεσις, τὸ κακὸν τὴν τοῦ πλήθους φύσιν εἶναι.

35 b Ps. Alexander ad hunc locum p. 823, 9 Hayduck. καὶ πρὸς τούτοις εἰ τὸ ἓν ἀγαθόν, τὸ μὴ ἕν, ὃ εἴτε δυάδα εἴτε ἄνισον εἴτε πλῆθος χρὴ καλεῖν, ἔσται κακόν, ἵν' ἐξ ἐναντίων, ἑνὸς μὲν τοῦ ἀγαθοῦ, μὴ ἑνὸς δὲ τοῦ κακοῦ, ἡ γένεσις ᾖ τῶν εἰδῶν. ὁ συνεωρακὼς Σπεύσιππος (λέγω δὴ εἰ τὸ ἓν ἀγαθόν, ἀνάγκη τὸ μὴ ἓν τὸ ὑλικὸν κακὸν εἶναι) ἀπέφυγε καὶ προσάπτειν οὐκ ἠθέλησε τὸ ἀγαθὸν τῷ ἑνί.

35 c Syrianus ad hunc locum p. 184, 22 Kroll. τίς ἐστιν ὁ φυγών; διὰ τί μάτην ὀνειδίζεται ὁ χρυσοῦς Σπεύσιππος; πῶς δὲ εἵπετο ἐκ τοιούτων ἐναντίων εἶναι τὴν τῶν θείων πραγμάτων ὑπόστασιν;

35 d Aristoteles Metaph. XII 10. 1075 a 31 οἳ δὲ τὸ ἕτερον τῶν ἐναντίων ὕλην ποιοῦσιν, ὥσπερ οἱ τὸ ἄνισον τῷ ἴσῳ ἢ τῷ ἑνὶ τὰ πολλά. λύεται δὲ καὶ τοῦτο τὸν αὐτὸν τρόπον· ἡ γὰρ ὕλη ἡ μία οὐδενὶ ἐναντίον. ἔτι ἅπαντα τοῦ φαύλου μεθέξει ἔξω τοῦ ἑνός· τὸ γὰρ κακὸν αὐτὸ θάτερον τῶν στοιχείων. οἱ δ' ἄλλοι οὐδ' ἀρχὰς τὸ ἀγαθὸν καὶ τὸ κακόν· καίτοι ἐν ἅπασι μάλιστα τὸ ἀγαθὸν ἀρχή.

35 e Ps. Alexander ad hunc locum p. 717, 39 Hayduck. ἀλλ' οἱ μὲν περὶ Πλάτωνα ἀρχὰς τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἐτίθεντο, οἱ δὲ ἄλλοι, οἷον οἱ Πυθαγόρειοι, ἐνίστανται φάσκοντες ὅτι τὸ ἀγαθὸν οὐκ ἔστιν ἀρχή· καὶ πῶς οἱ Πυθαγόρειοι τὸ ἀγαθὸν καὶ ἄριστον ἀρχὴν εἶναι οὐκ ἐβούλοντο, εἴρηται ἐν τῷ παρόντι βιβλίῳ ἐξηγουμένοις τὴν λέξιν τὴν 'ὅσοι δὲ ὑπολαμβάνουσιν ὥσπερ οἱ Πυθαγόρειοι καὶ Σπεύσιππος τὸ κάλλιστον καὶ ἄριστον μὴ ἐν ἀρχῇ εἶναι'.

5 ἐν τῷ παρόντι βιβλίῳ: p. 699, 28 Hayd. = fr. 34 b

36 Damascius de prim. princip. p. 2, 25 Ruell. οὐ γὰρ ἓν ὡς ἐλάχιστον, καθάπερ ὁ Σπεύσιππος ἔδοξε λέγειν· ἀλλ' ἓν ὡς πάντα καταπιόν· τῇ γὰρ ἑαυτοῦ ἁπλότητι πάντα συνανέλυσεν, καὶ ἓν τὰ πάντα ἐποίησεν.

Non recte Damascius videtur intellexisse locum Aristot. Met. 1087 b 30 ss. (= fr. 48 b sub fin.); v. Zeller p. 1001, 2   3 καταπιόν: κατὰ τῶν, corr. Kopp

Aristoteles Eth. Nic. I 4. 1096 b 5 πιθανώτερον δ' ἐοίκασιν **37 a**
οἱ Πυθαγόρειοι λέγειν περὶ αὐτοῦ (τοῦ ἀγαθοῦ) τιθέντες ἐν τῇ τῶν ἀγαθῶν συστοιχίᾳ τὸ ἕν· οἷς δὴ καὶ Σπεύσιππος ἐπακουθῆσαι δοκεῖ.

2. 3 τιθέντες ἐν τῇ τῶν ἀγαθῶν συστοιχίᾳ τὸ ἕν: ad h. sentent. v. Zeller p. 999, 3, qui ad eam etiam rettulit loci Aristot. Met. XIV 4. 1091 b 14 verba οὐσίαν μέντοι τὸ ἓν αὐτοῦ (τοῦ ἀγαθοῦ) ᾤοντο εἶναι μάλιστα, nonnulla verba ante οὐσίαν omissa esse censens; at v. Bonitz. comment. et Christ. edit. ad h. loc. adnot. et cf. Ps. Alex. ad eund. loc.

Eustratius ad hunc locum p. 51, 15 Heylb. φησὶ δὲ καὶ Σπεύ- **37 b**
σιππον ἐπακολουθῆσαι αὐτοῖς, θεολόγον ὄντα παρ' Ἕλλησιν.

Anonymus ad hunc locum (s. Heliodori nomin. ed. ab Heylb.) **37 c**
p. 9, 36 Heylb. Aristotelis verbis nihil addit.

v. ad fr. 60 d

DE MENTE DEO

Aëtius Placit. apud Stobaeum I 1, 29^{b} p. 35, 3 W. **38**
Σπεύσιππος (θεὸν ἀπεφήνατο) τὸν νοῦν οὔτε τῷ ἑνὶ οὔτε τῷ ἀγαθῷ τὸν αὐτόν, ἰδιοφυῆ δέ.

v. Zeller p. 713, 1; de Aëtio Diels Dox. p. 303, 3

Cicero de nat. deor. I 13, 32 (e Phaedro vel Philodemo) **39 a**
nec multo secus Speusippus Platonem avunculum subsequens et vim quandam dicens, qua omnia regantur, eamque animalem, evellere ex animis conatur cognitionem deorum.

v. Zeller p. 1000, 3; de Phaedro vel Philodemo Ciceronis auctore v. Diels Dox. p. 121; Acta acad. Berol. 1893 p. 116, 2

Minucius Felix Octav. 19, 7 p. 28, 10 Boenig. (secutus loc. Ci- **39 b**
ceron. fr. 39 a exscriptum) Speusippum (notum est) vim [naturalem] animalem, qua omnia regantur, deum nosse.

2 naturalem del. Davisius

DE ANIMA MUNDI

Iamblichus apud Stobaeum I 49, 32 p. 363, 26 W. μετὰ **40**
δὴ ταῦτα τοὺς εἰς μαθηματικὴν οὐσίαν ἐντιθέντας τὴν οὐσίαν τῆς ψυχῆς καταλέγω διευκρινημένως. ἔστι δὴ γένος ἕν τι αὐτῆς τὸ σχῆμα,

πέρας ὂν διαστάσεως, καὶ αὐτὴ ⟨ἡ⟩ διάστασις. ἐν αὐτοῖς μὲν οὖν τούτοις Σεβῆρος ὁ Πλατωνικὸς αὐτὴν ἀφωρίσατο, ἐν ἰδέᾳ δὲ τοῦ πάντῃ διαστατοῦ Σπεύσιππος.

v. Zeller p. 1000, 3. 2 μαθηματικὴν ἰδέαν coni. Wachsm. 4 ἡ add. Wachsm. 6 διαστατοῦ: ἀδιαστάτου coni. F. Ravaisson Speusippi de prim. rer. principiis placita (Paris. 1838) p. 41 male, cf. Zeller l. c.

TO TIMION

41 Theophrastus de prima philosophia 32 p. XI a 19 Usener. (p. 322, 8 Brandis.) πολὺ δὲ πλῆθος εἰ τοῦ κακοῦ, ἐν ἀοριστίᾳ δὲ μόνον καὶ οἷον ὕλης εἴδει, καθαιρεῖν τὰ τῆς φύσεως ἀμαθεστάτου. εἰκῇ γὰρ οἱ περὶ τῆς ὅλης οὐσίας λέγοντες ὥσπερ Σπεύσιππος σπάνιόν τι τὸ τίμιον ποιεῖ τὸ περὶ τὴν τοῦ μέσου χώραν, τὰ δ' ἄκρα καὶ ἑκατέρωθεν. τὰ μὲν οὖν ὄντα καλῶς ἔτυχεν ὄντα.

v. Zeller p. 1000, 3, qui τὸ τίμιον ad animam mundi rettulit; Herm. Usener Mus. Rhen. v. XVI p. 280 2 εἰ Us.: ἡ P(arisinus 1853) ἤ A (Vaticanus 1302) εἶ B(ernensis 402) εἶναι Oporinus ed. τοῦ κακοῦ, ἐν ἀοριστίᾳ Us.: το κακόν· οὐκ εἰ (ει A) αοριστία PA b (Brandisii exempl. Berol. a. 1823) 3 εἴδει Us.: εἴδη P εἴδη Ab καθαιρεῖν Us.: καθάπερ PAb αμαθεστάτουει· καὶ γὰρ P ἀμαθεστάτου· εἰ καὶ γὰρ A ἀμαθεστάτου· εἰ γὰρ καὶ b: correxit (?) Sylburgius 5. 6 hunc locum corruptum sanare conati sunt Zeller p. 1000, 3 hoc modo: χώραν τά τ' ἄκρα ἑκατέρωθι, Usener Mus. Rh. l. c. coniectura (quam ipse in edit. adnot. non repetivit) hac: τὰ δ' (sc. ἄτιμα) ἀθρόα καὶ (sive τὰ) ἑκατέρωθεν. 6 ἑκατέρω A

DE NUMERIS ET MAGNITUDINIBUS[1])

42 a Aristoteles Metaph. XII 1. 1069 a 33 ἄλλη δὲ (οὐσία) ἀκίνητος, καὶ ταύτην τινὲς εἶναί φασι χωριστήν, οἱ μὲν εἰς δύο διαιροῦντες, οἱ δὲ εἰς μίαν φύσιν τιθέντες τὰ εἴδη καὶ τὰ μαθηματικά, οἱ δὲ τὰ μαθηματικὰ μόνον τούτων.

42 b Aristoteles Metaph. XIII 1. 1076 a 19 ἐπεὶ δὲ οἱ μὲν δύο ταῦτα γένη ποιοῦσι, τάς τ' ἰδέας καὶ τοὺς μαθηματικοὺς ἀριθμούς, οἱ δὲ μίαν φύσιν ἀμφοτέρων, ἕτεροι δέ τινες τὰς μαθηματικὰς μόνον οὐσίας εἶναί φασι, σκεπτέον κτέ.

1) v. Zeller p. 1003, 1, de magnitudinibus (μεγέθη) etiam p. 1005, 4; praeterea v. supra p. 30. — Numeri et magnitudines commemorantur etiam in fr. 33a et 33e.

l. 32 ἀνάγκη δ', εἴπερ ἔστι τὰ μαθηματικά, ἢ ἐν τοῖς αἰσθητοῖς εἶναι αὐτά, καθάπερ λέγουσί τινες, ἢ κεχωρισμένα τῶν αἰσθητῶν (λέγουσι δὲ καὶ οὕτω τινές)· ἢ εἰ μηδετέρων, ἢ οὐκ εἰσὶν ἢ ἄλλον τρόπον εἰσίν.

6. 7 De horum sententia iudicat Aristot. inde a p. 1076 b 11.

Aristoteles Metaph. XIII 6. 1080 b 11 οἱ μὲν οὖν ἀμφοτέρους φασὶν εἶναι τοὺς ἀριθμούς, τὸν μὲν ἔχοντα τὸ πρότερον καὶ ὕστερον τὰς ἰδέας, τὸν δὲ μαθηματικὸν παρὰ τὰς ἰδέας καὶ τὰ αἰσθητά, καὶ χωριστοὺς ἀμφοτέρους τῶν αἰσθητῶν· οἱ δὲ τὸν μαθηματικὸν μόνον ἀριθμὸν εἶναι τὸν πρῶτον τῶν ὄντων κεχωρισμένον τῶν αἰσθητῶν. καὶ οἱ Πυθαγόρειοι δ' ἕνα, τὸν μαθηματικόν, πλὴν οὐ κεχωρισμένον κτέ. 42 c

l. 23 ὁμοίως δὲ καὶ περὶ τὰ μήκη καὶ περὶ τὰ ἐπίπεδα καὶ περὶ τὰ στερεά. οἱ μὲν γὰρ ἕτερα τὰ μαθηματικὰ καὶ τὰ μετὰ τὰς ἰδέας· τῶν δ' ἄλλως λεγόντων οἱ μὲν τὰ μαθηματικὰ καὶ μαθηματικῶς λέγουσιν, ὅσοι μὴ ποιοῦσι τὰς ἰδέας ἀριθμοὺς μηδὲ εἶναί φασιν ἰδέας, οἱ δὲ τὰ μαθηματικά, οὐ μαθηματικῶς δέ κτέ.

4. 5 Ps. Alex. ad h. loc. p. 745, 31 H. et schol. cod. Reg. Paris. 1853 p. 818 b 15 Brand. huius sententiae auctorem **Xenocratem** esse opinantur; at v. Zeller p. 1015, 2.

Aristoteles Metaph. XIII 8. 1083 a 20 ἀλλὰ μὴν οὐδ' ὡς ἕτεροί τινες λέγουσι περὶ τῶν ἀριθμῶν λέγεται καλῶς. εἰσὶ δ' οὗτοι ὅσοι ἰδέας μὲν οὐκ οἴονται εἶναι οὔθ' ἁπλῶς οὔτε ὡς ἀριθμούς τινας οὔσας, τὰ δὲ μαθηματικὰ εἶναι καὶ τοὺς ἀριθμοὺς πρώτους τῶν ὄντων, καὶ ἀρχὴν αὐτῶν εἶναι αὐτὸ τὸ ἕν. ἄτοπον γὰρ τὸ ἓν μὲν εἶναί τι πρῶτον τῶν ἑνῶν, ὥσπερ ἐκεῖνοί φασι, δυάδα δὲ τῶν δυάδων μή, μηδὲ τριάδα τῶν τριάδων· τοῦ γὰρ αὐτοῦ λόγου πάντα ἐστίν. εἰ μὲν οὖν οὕτως ἔχει τὰ περὶ τὸν ἀριθμὸν καὶ θήσει τις εἶναι τὸν μαθηματικὸν μόνον, οὐκ ἔσται τὸ ἓν ἀρχή. ἀνάγκη γὰρ διαφέρειν τὸ ἓν τὸ τοιοῦτο τῶν ἄλλων μονάδων· εἰ δὲ τοῦτο, καὶ δυάδα τινὰ πρώτην τῶν δυάδων, ὁμοίως δὲ καὶ τοὺς ἄλλους ἀριθμοὺς τοὺς ἐφεξῆς. εἰ δ' ἐστὶ τὸ ἓν ἀρχή, ἀνάγκη μᾶλλον ὥσπερ Πλάτων ἔλεγεν ἔχειν τὰ περὶ τοὺς ἀριθμούς, καὶ εἶναί τινα δυάδα πρώτην καὶ τριάδα, καὶ οὐ συμβλητοὺς εἶναι τοὺς ἀριθμοὺς πρὸς ἀλλήλους κτλ. 42 d

6 cf. Zeller p. 1005 9 ἔσται Ps. Alex. p. 765, 21 H.: ἔστι Ab E vulgo

Syrianus in Aristot. Metaph. XIII 8. 1083 b 1 p. 141, 22 Kroll. τοὺς μὲν δύο φησὶ ποιεῖν ἀριθμοὺς καὶ διακρίνειν αὐτούς, ὥσπερ Πλάτωνα κτέ., τοὺς δὲ ἕνα τὸν μαθηματικόν, ὥς τινας τῶν Πυθαγορείων, τοὺς δὲ γιγνώσκειν ἀμφοτέρους, ἕνα δὲ ποιεῖν αὐτούς· αἰνίττεται δὲ Σπεύσιππον ἴσως καὶ Ξενοκράτην, οὓς καὶ χειρίστης ὑποθέσεώς φησι προεστάναι κτέ.

Eadem sentit Ps. Alex. ad eundem loc. Met. p. 766, 7 H. οἳ δὲ ἐγίνωσκον μὲν ἀμφοτέρους καὶ τὸν εἰδητικὸν καὶ τὸν μαθηματικόν, ἕνα δὲ ἐποίουν, ὥσπερ Σπεύσιππος καὶ Ξενοκράτης (cf. schol. cod. Paris. 1853 p. 820 a 39 Brand.). Quae de numeris sententia falso ab his commentatoribus Speusippo tribuitur; v. Zeller p. 1015, 2.

42 e Aristoteles Metaph. XIII 9. 1086 a 2 οἱ μὲν γὰρ τὰ μαθηματικὰ μόνον ποιοῦντες παρὰ τὰ αἰσθητά, ὁρῶντες τὴν περὶ τὰ εἴδη δυσχέρειαν καὶ πλάσιν, ἀπέστησαν ἀπὸ τοῦ εἰδητικοῦ ἀριθμοῦ καὶ τὸν μαθηματικὸν ἐποίησαν.

42 f Ps. Alexander in hunc locum p. 782, 31 H. ταῦτα εἰπὼν λέγει ὅτι οἱ μὲν τοὺς μαθηματικοὺς ἀριθμοὺς μόνους ποιοῦντες, ὡς οἱ περὶ Ξενοκράτην καὶ Σπεύσιππον, χωριστοὺς δὲ τῶν αἰσθητῶν καὶ ἄλλους παρὰ τὰ αἰσθητά, ἰδόντες τὴν περὶ τὰς ἰδέας δυσχέρειαν καὶ τὴν ἑπομένην ἅπασιν αὐτοῖς ἀτοπίαν καὶ πλάσματα, μόνον διανοίας ἀλλ' οὐ πράγματα αὐτὰς εἶναι ὑπειληφότες ἀπέστησαν τοῦ λέγειν εἰδητικοὺς ἀριθμοὺς καὶ τὸν μαθηματικὸν μόνον ἐποίησαν.

2 Xenocrati hanc sententiam falso tribuit, v. Zeller p. 1015, 2.

42 g Aristoteles Metaph. XIV 4. 1091 b 16 θαυμαστὸν δ' εἰ τῷ πρώτῳ καὶ ἀϊδίῳ καὶ αὐταρκεστάτῳ τοῦτ' αὐτὸ πρῶτον οὐχ ὡς ἀγαθὸν ὑπάρχει τὸ αὔταρκες καὶ ἡ σωτηρία. ἀλλὰ μὴν οὐ δι' ἄλλο τι ἄφθαρτον ἢ διότι εὖ ἔχει, οὐδ' αὔταρκες. ὥστε τὸ μὲν φάναι τὴν ἀρχὴν τοιαύτην εἶναι εὔλογον ἀληθὲς εἶναι· τὸ μέντοι ταύτην εἶναι τὸ ἕν, ἢ εἰ μὴ τοῦτο, στοιχεῖόν τε καὶ στοιχεῖον ἀριθμῶν, ἀδύνατον. συμβαίνει γὰρ πολλὴ δυσχέρεια, ἣν ἔνιοι φεύγοντες ἀπειρήκασιν, οἱ τὸ ἓν μὲν ὁμολογοῦντες ἀρχὴν εἶναι πρώτην καὶ στοιχεῖον, τοῦ ἀριθμοῦ δὲ τοῦ μαθηματικοῦ. ἅπασαι γὰρ αἱ μονάδες γίγνονται ὅπερ ἀγαθόν τι, καὶ πολλή τις εὐπορία ἀγαθῶν. ἔτι εἰ τὰ εἴδη ἀριθμοὶ κτέ.

v. Zeller p. 1003 adn. 1, in qua de hoc loco agit p. 1004 extr. ss.
6 στοιχεῖόν γε coni. Christ

43 Aristoteles Metaph. XIV 2. 1090 a 3 ἐπιστήσειε δ' ἄν τις τὴν σκέψιν καὶ περὶ τῶν ἀριθμῶν πόθεν δεῖ λαβεῖν τὴν πίστιν ὡς εἰσίν. τῷ μὲν γὰρ ἰδέας τιθεμένῳ . . . . τῷ δὲ τοῦτον μὲν τὸν τρόπον οὐκ οἰομένῳ διὰ τὸ τὰς ἐνούσας δυσχερείας ὁρᾶν περὶ

τὰς ἰδέας ὥστε διά γε ταῦτα μὴ ποιεῖν ἀριθμούς, ποιοῦντι δὲ ἀριθμὸν τὸν μαθηματικόν, πόθεν τε χρὴ πιστεῦσαι ὡς ἔστι τοιοῦτος ἀριθμός, καὶ τί τοῖς ἄλλοις χρήσιμος; οὐδενὸς γὰρ οὔτε φησὶν ὁ λέγων αὐτὸν εἶναι ἀλλ' ὡς αὐτήν τινα λέγει καθ' αὑτὴν φύσιν οὖσαν, οὔτε φαίνεται ὢν αἴτιος· τὰ γὰρ θεωρήματα τῶν ἀριθμητικῶν πάντα καὶ κατὰ τῶν αἰσθητῶν ὑπάρξει, καθάπερ ἐλέχθη.

3 οἱ μὲν οὖν τιθέμενοι τὰς ἰδέας εἶναι καὶ ἀριθμοὺς αὐτὰς εἶναι . . . . (l. 20) οἱ δὲ Πυθαγόρειοι . . . . (l. 25) τοῖς δὲ τὸν μαθηματικὸν μόνον λέγουσιν εἶναι ἀριθμὸν οὐδὲν τοιοῦτον ἐνδέχεται λέγειν κατὰ τὰς ὑποθέσεις, ἀλλ' ὅτι οὐκ ἔσονται αὐτῶν αἱ ἐπιστῆμαι ἐλέγοντο. ἡμεῖς δέ φαμεν εἶναι, καθάπερ εἴπομεν πρότερον. καὶ δῆλον ὅτι οὐ κεχώρισται τὰ μαθηματικά· οὐ γὰρ ἂν κεχωρισμένων τὰ πάθη ὑπῆρχεν ἐν τοῖς σώμασιν. οἱ μὲν οὖν Πυθαγόρειοι . . . . (l. 35) οἱ δὲ χωριστὸν ποιοῦντες (τὸν μαθηματικὸν ἀριθμόν), ὅτι ἐπὶ τῶν αἰσθητῶν οὐκ ἔσται τὰ ἀξιώματα, ἀληθῆ δὲ τὰ λεγόμενα καὶ σαίνει τὴν ψυχήν, εἶναί τε ὑπολαμβάνουσι καὶ χωριστὰ εἶναι· ὁμοίως δὲ καὶ τὰ μεγέθη τὰ μαθηματικά. δῆλον οὖν ὅτι καὶ ὁ ἐναντιούμενος λόγος τἀναντία ἐρεῖ· καὶ ὃ ἄρτι ἠπορήθη, λυτέον τοῖς οὕτω λέγουσι, διὰ τί οὐδαμῶς ἐν τοῖς αἰσθητοῖς ὑπαρχόντων τὰ πάθη ὑπάρχει αὐτῶν ἐν τοῖς αἰσθητοῖς.

18 ss. De hoc loco disputavi supra p. 30. 21 χωριστόν coni. Bonitz 23 λύεται A[b]

Aristoteles Metaph. XIV 3. 1090 b 5 εἰσὶ δέ τινες οἳ ἐκ **44** † [1]
τοῦ πέρατα εἶναι καὶ ἔσχατα τὴν στιγμὴν μὲν γραμμῆς, ταύτην δ' ἐπιπέδου, τοῦτο δὲ τοῦ στερεοῦ, οἴονται εἶναι ἀνάγκην τοιαύτας φύσεις εἶναι. δεῖ δὴ καὶ τοῦτον ὁρᾶν τὸν λόγον, μὴ λίαν ᾖ μαλακός. οὔτε γὰρ οὐσίαι εἰσὶ τὰ ἔσχατα ἀλλὰ μᾶλλον πάντα ταῦτα πέρατα, ἐπεὶ καὶ τῆς βαδίσεως καὶ ὅλως κινήσεώς ἐστί τι πέρας. τοῦτ' οὖν ἔσται τόδε τι καὶ οὐσία τις. ἀλλ' ἄτοπον. οὐ μὴν ἀλλ' εἰ καὶ εἰσί, τῶνδε τῶν αἰσθητῶν ἔσονται πάντα· ἐπὶ τούτων γὰρ ὁ λόγος εἴρηκεν. διὰ τί οὖν χωριστά ἐστιν;

Hunc locum ad Speusippum rettulit et cum Metaph. VII 2. 1028 b 16 et III 5. 1002 a 4 composuit Zeller p. 1005, 1.

Aristoteles Metaph. XIV 3. 1091 a 12 ἄτοπον δὲ καὶ γένεσιν **45**
ποιεῖν ἀϊδίων ὄντων, μᾶλλον δ' ἕν τι τῶν ἀδυνάτων. οἱ μὲν οὖν Πυθαγόρειοι πότερον οὐ ποιοῦσιν ἢ ποιοῦσι γένεσιν . . . . (l. 18)

---

1) Cruce † significavi ea fragmenta, quae non satis certo ad Speusippum videntur referri posse.

ἀλλ' ἐπειδὴ κοσμοποιοῦσι καὶ φυσικῶς βούλονται λέγειν, δίκαιον αὐτοὺς ἐξετάζειν τι περὶ φύσεως, ἐκ δὲ τῆς νῦν ἀφεῖναι μεθόδου· τὰς γὰρ ἐν τοῖς ἀκινήτοις ζητοῦμεν ἀρχάς, ὥστε καὶ τῶν ἀριθμῶν τῶν τοιούτων ἐπισκεπτέον τὴν γένεσιν. τοῦ μὲν οὖν περιττοῦ γένεσιν οὔ φασιν, ὡς δῆλον ὅτι τοῦ ἀρτίου οὔσης γενέσεως· τὸν δ' ἄρτιον πρῶτον ἐξ ἀνίσων τινὲς κατασκευάζουσι τοῦ μεγάλου καὶ μικροῦ ἰσασθέντων. ἀνάγκη οὖν πρότερον ὑπάρχειν τὴν ἀνισότητα αὐτοῖς τοῦ ἰσασθῆναι. εἰ δ' αἰεὶ ἦσαν ἰσασμένα, οὐκ ἂν ἦσαν ἄνισα πρότερον· τοῦ γὰρ αἰεὶ οὐκ ἔστι πρότερον οὐδέν. ὥστε φανερὸν ὅτι οὐ τοῦ θεωρῆσαι ἕνεκεν ποιοῦσι τὴν γένεσιν τῶν ἀριθμῶν.

v. supra p. 30   5 τι: τοὺς Ps. Alex., ἐν τοῖς coni. Schwegler, τῇ (sc. μεθόδῳ) coni. Christ

46 Proclus in prim. Euclidis Element. libr. commentar. p. 77, 7 Friedl. πάλιν δ' αὖ τὰ ἀπὸ τῶν ἀρχῶν εἰς προβλήματα διαιρεῖται καὶ θεωρήματα, τὰ μὲν τὰς γενέσεις περιέχοντα τῶν σχημάτων καὶ τὰς τομὰς καὶ τὰς ἀφαιρέσεις ἢ προσθέσεις καὶ ὅλως τὰ παθήματα τὰ γιγνόμενα περὶ αὐτά, τὰ δὲ καθ' αὐτὰ συμβεβηκότα ἑκάστοις δεικνύοντα. καθάπερ γὰρ αἱ ποιητικαὶ τῶν ἐπιστημῶν θεωρίας μετέχουσιν, κατὰ τὰ αὐτὰ δὴ καὶ αἱ θεωρητικαὶ τὰ προβλήματα ταῖς ποιήσεσιν ἀνάλογον προσειλήφασιν. ἤδη δὲ τῶν παλαιῶν οἱ μὲν πάντα θεωρήματα καλεῖν ἠξίωσαν, ὡς οἱ περὶ Σπεύσιππον καὶ Ἀμφίνομον, ἡγούμενοι ταῖς θεωρητικαῖς ἐπιστήμαις οἰκειοτέραν εἶναι τὴν τῶν θεωρημάτων προσηγορίαν ἢ τὴν τῶν προβλημάτων, ἄλλως τε καὶ περὶ ἀϊδίων ποιουμέναις τοὺς λόγους. οὐ γάρ ἐστι γένεσις ἐν τοῖς ἀϊδίοις, ὥστε οὐδὲ τὸ πρόβλημα χώραν ἐπὶ τούτων ἂν ἔχοι, γένεσιν ἐπαγγελλόμενον καὶ ποίησιν τοῦ μήπω πρότερον ὄντος, οἷον ἰσοπλεύρου τριγώνου σύστασιν, ἢ τετραγώνου δοθείσης εὐθείας ἀναγραφήν, ἢ θέσιν εὐθείας πρὸς τῷ δοθέντι σημείῳ. ἄμεινον οὖν φασι λέγειν, ὅτι πάντα ταὐτά ἐστι, τὰς δὲ γενέσεις αὐτῶν οὐ ποιητικῶς ἀλλὰ γνωστικῶς ὁρῶμεν ὡσανεὶ γιγνόμενα λαμβάνοντες τὰ ἀεὶ ὄντα, ὥστε καὶ πάντα θεωρηματικῶς ἐροῦμεν ἀλλ' οὐ προβληματικῶς λαμβάνεσθαι. οἱ δὲ ἀνάπαλιν πάντα προβλήματα λέγειν ἐδικαίουν, ὡς οἱ περὶ Μέναιχμον μαθηματικοὶ κτλ.

καὶ λέγουσι μὲν ὀρθῶς ἀμφότεροι· καὶ γὰρ οἱ περὶ Σπεύσιππον καλῶς — οὐ γὰρ τοιαῦτά ἐστι τὰ προβλήματα γεωμετρίας, οἷα τὰ μηχανικῆς· αἰσθητὰ γὰρ ταῦτα καὶ γένεσιν ἔχοντα καὶ παντοίαν μεταβολήν — καὶ οἱ περὶ Μέναιχμον κτέ.

v. supra p. 28 s. et 31   21 v. Menaechmi fragm. coll. M. C. P. Schmidt (Philolog. v. 42 p. 72 ss.) fragm. VI; cf. fragm. II.

Proclus in prim. Euclidis Element. libr. commentar. p. 181, 16 47
Friedl. ἤδη δὲ οἳ μὲν πάντα αἰτήματα καλεῖν ἀξιοῦσιν, ὥσπερ καὶ προβλήματα τὰ ζητούμενα πάντα. καὶ γὰρ ὁ Ἀρχιμήδης . . . . . οἳ δὲ πάντα ἀξιώματα προσαγορεύουσιν, ὥσπερ δὴ καὶ θεωρήματα πάντα τὰ ἀποδείξεως δεόμενα. κατὰ τὴν αὐτὴν γὰρ ὡς ἔοικεν ἀναλογίαν ἀπὸ τῶν ἰδίων ἐπὶ τὰ κοινὰ μεταβεβήκασιν ὀνόματα.

v. supra p. 29.

Aristoteles Metaph. XIV 5. 1092 a 35 ἐπεὶ τοίνυν τὸ ἓν 48 a
ὁ μὲν τῷ πλήθει ὡς ἐναντίον τίθησιν, ὁ δὲ τῷ ἀνίσῳ, ὡς ἴσῳ τῷ ἑνὶ χρώμενος, ὡς ἐξ ἐναντίων εἴη ἂν ὁ ἀριθμός.

De uno et multitudine v. Zeller p. 1001, 2 et cf. fr. 35 a—d, 48 b—c, 49.

Aristoteles Metaph. XIV 1. 1087 b 4 οἳ δὲ τὸ ἕτερον τῶν 48 b
ἐναντίων ὕλην ποιοῦσιν, οἳ μὲν τῷ ἑνὶ τῷ ἴσῳ τὸ ἄνισον, ὡς τοῦτο τὴν τοῦ πλήθους οὖσαν φύσιν, οἳ δὲ τῷ ἑνὶ τὸ πλῆθος. γεννῶνται γὰρ οἱ ἀριθμοὶ τοῖς μὲν ἐκ τῆς τοῦ ἀνίσου δυάδος τοῦ μεγάλου καὶ μικροῦ, τῷ δ' ἐκ τοῦ πλήθους, ὑπὸ τῆς τοῦ ἑνὸς δὲ οὐσίας ἀμφοῖν.

l. 25 οἳ δὲ τὸ ἕτερον καὶ τὸ ἄλλο πρὸς τὸ ἓν ἀντιτιθέασιν, οἳ δὲ πλῆθος καὶ τὸ ἕν. εἰ δ' ἔστιν, ὥσπερ βούλονται, τὰ ὄντα ἐξ ἐναντίων, τῷ δ' ἑνὶ ἢ οὐδὲν ἐναντίον, ἢ εἴπερ ἄρα μέλλει, τὸ πλῆθος, τὸ δ' ἄνισον τῷ ἴσῳ καὶ τὸ ἕτερον τῷ ταὐτῷ καὶ τὸ ἄλλο τῷ αὐτῷ, μάλιστα μὲν οἱ τὸ ἓν τῷ πλήθει ἀντιτιθέντες ἔχονταί τινος δόξης, οὐ μὴν οὐδ' οὗτοι ἱκανῶς· ἔσται γὰρ τὸ ἓν ὀλίγον· πλῆθος μὲν γὰρ ὀλιγότητι, τὸ δὲ πολὺ τῷ ὀλίγῳ ἀντίκειται.

3 οἳ: ὁ E οἳ δὲ τῷ ἑνὶ τὸ πλῆθος: Ps. Alexander et Syrianus ad h. loc. huius doctrinae auctores nominant Pythagoreos tantum; ad Speusippum haec verba recte rettulit Zeller p. 1001, 2; cf. ad fr. 48 a 9 τῷ αὐτῷ Christ. τὸ αὐτῶ A^b αὐτῷ E Bonitz ταὐτῷ Bekk.

Aristoteles Metaph. XIII 9. 1085 b 5 ἔτι πῶς μὲν ἐνδέ- 48 c
χεται εἶναι ἐκ τοῦ ἑνὸς καὶ τοῦ πλήθους τὸν ἀριθμόν, οὐδὲν ἐπιχειρεῖται· ὅπως δ' οὖν λέγουσιν, ταὐτὰ συμβαίνει δυσχερῆ ἅπερ καὶ τοῖς ἐκ τοῦ ἑνὸς καὶ ἐκ τῆς δυάδος τῆς ἀορίστου. ὃ μὲν γὰρ ἐκ τοῦ κατηγορουμένου καθόλου γεννᾷ τὸν ἀριθμὸν καὶ οὐ τινὸς πλήθους, ὃ δ' ἐκ τινὸς πλήθους, τοῦ πρώτου δέ· τὴν γὰρ δυάδα πρῶτόν τι εἶναι πλῆθος. ὥστε διαφέρει οὐδὲν ὡς εἰπεῖν, ἀλλ' αἱ ἀπορίαι αὐταὶ ἀκολουθήσουσι, μῖξις ἢ θέσις ἢ κρᾶσις ἢ γένεσις καὶ ὅσα ἄλλα τοιαῦτα κτέ.

cf. ad fr. 48 a.

49 Aristoteles Metaph. XIII 9. 1085 a 31 οἳ μὲν οὖν τὰ μεγέθη γεννῶσιν ἐκ τοιαύτης ὕλης, ἕτεροι δ' ἐκ τῆς στιγμῆς — ἡ δὲ στιγμὴ αὐτοῖς δοκεῖ εἶναι οὐχ ἓν ἀλλ' οἷον τὸ ἓν — καὶ ἄλλης ὕλης οἵας τὸ πλῆθος, ἀλλ' οὐ πλήθους· περὶ ὧν οὐδὲν ἧττον συμβαίνει ταὐτὰ ἀπορεῖν. εἰ μὲν γὰρ κτέ.

v. Zeller p. 1002, 2; cf. ad fr. 48 a.

50 Aristoteles Metaph. XIV 3. 1090 b 13 ἔτι δὲ ἐπιζητήσειεν ἄν τις μὴ λίαν εὐχερὴς ὢν περὶ μὲν τοῦ ἀριθμοῦ παντὸς καὶ τῶν μαθηματικῶν τὸ μηδὲν συμβάλλεσθαι ἀλλήλοις τὰ πρότερα τοῖς ὕστερον· μὴ ὄντος γὰρ τοῦ ἀριθμοῦ οὐδὲν ἧττον τὰ μεγέθη ἔσται τοῖς τὰ μαθηματικὰ μόνον εἶναι φαμένοις, καὶ τούτων μὴ ὄντων ἡ ψυχὴ καὶ τὰ σώματα τὰ αἰσθητά. οὐκ ἔοικε δ' ἡ φύσις ἐπεισοδιώδης οὖσα ἐκ τῶν φαινομένων, ὥσπερ μοχθηρὰ τραγῳδία.

v. Schwegleri ad hunc loc. comment.; Zeller p. 1002, 1; cf. fr. 33 a—e.

4. Physica.

ΤΑ ΜΕΤΑ ΤΑΣ ΑΡΧΑΣ

51 Theophrastus de prima philosophia 11 p. VI a 23 Usener (p. 312, 18 Brandis.) νῦν δ' οἵ γε πολλοὶ μέχρι τινὸς ἐλθόντες καταπαύονται, καθάπερ καὶ οἱ τὸ ἓν καὶ τὴν ἀόριστον δυάδα ποιοῦντες· τοὺς γὰρ ἀριθμοὺς γεννήσαντες καὶ τὰ ἐπίπεδα καὶ τὰ σώματα σχεδὸν τὰ ἄλλα παραλείπουσιν πλὴν ὅσον ἐφαπτόμενοι καὶ τοσοῦτο μόνον δηλοῦντες, ὅτι τὰ μὲν ἀπὸ τῆς ἀορίστου δυάδος, οἷον τόπος καὶ κενὸν καὶ ἄπειρον, τὸ δ' ἀπὸ τῶν ἀριθμῶν καὶ τοῦ ἑνός, οἷον ψυχὴ καὶ ἄλλ' ἄττα· [χρόνον δ' ἅμα καὶ οὐρανὸν καὶ ἕτερα δὴ πλείω] τοῦ δ' οὐρανοῦ πέρι καὶ τῶν λοιπῶν οὐδεμίαν ἔτι ποιοῦνται μνείαν· ὡσαύτως δ' οἱ περὶ Σπεύσιππον, οὐδὲ τῶν ἄλλων οὐθεὶς πλὴν Ξενοκράτης· οὗτος γὰρ ἅπαντά πως περιτίθησιν περὶ τὸν κόσμον κτέ. πειρᾶται δὲ καὶ Ἑστιαῖος μέχρι τινὸς κτέ. Πλάτων μὲν οὖν ἐν τῷ ἀνάγειν εἰς τὰς ἀρχὰς δόξειεν ἂν ἅπτεσθαι τῶν ἄλλων εἰς τὰς ἰδέας ἀνάπτων κτέ.· οἳ δὲ τῶν ἀρχῶν μόνον.

v. Zeller p. 950, 1 8. 9 verba χρόνον δ' ἅμα — πλείω ad voc. παραλείπουσιν (l. 5) pertinentia, quod 'neque hoc loco neque simul cum proximo enuntiato tolerabilia' sunt, uncis inclusit Usen. coll. p. VII a 15 10 δ' οἱ P(arisin. 1853) A(Vatic. 1302): δ' οὐδὲ οἱ b (Brandis. exemplum Berol. a. 1823) 14 μόνον PA μόνων B(ernensis 402)

DE SPATIO 52†[1]

Aristoteles Metaph. XIV 5. 1092 a 17 ἄτοπον δὲ καὶ τὸ τόπον ἅμα τοῖς στερεοῖς καὶ τοῖς μαθηματικοῖς ποιῆσαι (ὁ μὲν γὰρ τόπος τῶν καθ' ἕκαστον ἴδιος, διὸ χωριστὰ τόπῳ, τὰ δὲ μαθηματικὰ οὐ ποῦ), καὶ τὸ εἰπεῖν μὲν ὅτι ποῦ ἔσται, τί δέ ἐστιν ὁ τόπος, μή.

Hunc locum Aristotelis spectare Speusippum putant Ravaisson p. 44 et Brandis p. 18, 44; v. Zeller p. 1007, 3   2 καὶ om. A[b] (Laur. 87, 12) Ps. Alex. Bonitz.   4 ἔσται: ἐστι coni. Christ

DE TEMPORE

Plutarchus quaest. Platonic. 8, 4, 3 p. 1007 a ῥητέον οὖν τοὺς ὑπὸ 53
τούτων ταραττομένους δι' ἄγνοιαν οἴεσθαι τὸν χρόνον 'μέτρον εἶναι κινήσεως καὶ ἀριθμὸν κατὰ τὸ πρότερον καὶ ὕστερον', ὡς Ἀριστοτέλης εἶπεν, ἢ 'τὸ ἐν κινήσει ποσόν', ὡς Σπεύσιππος, ἢ διάστημα κινήσεως, ἄλλο δ' οὐδέν, ὡς ἔνιοι τῶν Στωικῶν κτέ.

v. Zeller p. 1007, 4   3 Aristot. Phys. IV 11 p. 219 b 2

DE AETERNITATE MUNDI[2]

Aristoteles de caelo I 10. 279 b 32 ἣν δέ τινες βοήθειαν 54 a
ἐπιχειροῦσι φέρειν ἑαυτοῖς τῶν λεγόντων ἄφθαρτον μὲν εἶναι (τὸν κόσμον) γενόμενον δέ, οὐκ ἔστιν ἀληθής· ὁμοίως γάρ φασι τοῖς τὰ διαγράμματα γράφουσι καὶ σφᾶς εἰρηκέναι περὶ τῆς γενέσεως, οὐχ ὡς γενομένου ποτέ, ἀλλὰ διδασκαλίας χάριν ὡς μᾶλλον γνωριζόντων, ὥσπερ τὸ διάγραμμα γιγνόμενον θεασαμένους. τοῦτο δ' ἐστίν, ὥσπερ λέγομεν, οὐ τὸ αὐτό· ἐν μὲν γὰρ τῇ ποιήσει τῶν διαγραμμάτων πάντων τεθέντων εἶναι ἅμα τὸ αὐτὸ συμβαίνει, ἐν δὲ ταῖς τούτων ἀποδείξεσιν οὐ ταὐτόν. ἀλλ' ἀδύνατον· τὰ γὰρ λαμβανόμενα πρότερον καὶ ὕστερον ὑπεναντία ἐστίν· ἐξ ἀτάκτων γὰρ τεταγμένα γενέσθαι φασίν, ἅμα δὲ τὸ αὐτὸ ἄτακτον εἶναι καὶ τεταγμένον ἀδύνατον, ἀλλ' ἀνάγκη γένεσιν εἶναι τὴν χωρίζουσαν καὶ χρόνον· ἐν δὲ τοῖς διαγράμμασιν οὐδὲν τῷ χρόνῳ κεχώρισται. ὅτι μὲν οὖν ἀδύνατον αὐτὸν ἅμ' ἀΐδιον εἶναι καὶ γενέσθαι, φανερόν.

Schol. cod. Parisin. 1853 (E) in hunc locum p. 489 a 9 Brandis. 54 b
ὁ Ξενοκράτης καὶ ὁ Σπεύσιππος ἐπιχειροῦντες βοηθῆσαι τῷ Πλάτωνι ἔλεγον ὅτι οὐ γενητὸν τὸν κόσμον ὁ Πλάτων ἐδόξαζεν, ἀλλὰ ἀγένητον, χάριν δὲ διδασκαλίας καὶ τοῦ γνωρίσαι καὶ παραστῆσαι αὐτὸ ἀκριβέστερον ἔλεγε τοῦτον γενητόν.

De schol. cod. Parisin. 1853 v. Heiberg. ed. Simplic. in

1) v. ad fr. 44.

2) cf. fr. 45 et 46 et v. supra p. 31; cf. etiam Zeller p. 798, 1.

Aristot. de caelo praef. p. XIII: 'Cod. Paris. gr. 1948 . . . excerpta continet ex Simplicio sine nomine, Cod. Paris. gr. 1853 alia excerpta ab eo non prorsus aliena; sed de iis nihil aliud mihi notum est'; praeterea v. Christ. Arist. Metaph. ed. praef. p. IX. — Cfr. cum hoc schol. verba Simplicii ad eundem locum Aristot. p. 303, 34 Heiberg. δοκεῖ μὲν πρὸς Ξενοκράτην μάλιστα καὶ τοὺς Πλατωνικοὺς ὁ λόγος τείνειν, διότι ἐξ ἀτάκτου καὶ πλημμελοῦς γεγονέναι τὸν κόσμον φασί, τοῦ Πλάτωνος εἰπόντος· παραλαβὼν γὰρ . . . . . . οὗτοι οὖν γενητὸν καὶ ἄφθαρτον λέγοντες τὸν κόσμον τὴν γένεσιν οὐχ ὡς ἀπὸ χρόνου φασὶ δεῖν ἀκούειν, ἀλλ' ἐξ ὑποθέσεως εἰρημένην διδασκαλίας χάριν τῆς τάξεως τῶν ἐν αὐτῷ προτέρων τε καὶ συνθετωτέρων κτλ.

DE ANIMA

55 Olympiodorus in Platon. Phaedon. p. 98, 10 Finkh.
ὅτι οἳ μὲν ἀπὸ τῆς λογικῆς ψυχῆς ἄχρι τῆς ἀψύχου ἕξεως ἀπαθανατίζουσιν, ὡς Νουμήνιος· οἳ δὲ μέχρι τῆς φύσεως, ὡς Πλωτῖνος ἔνι ὅπου· οἳ δὲ μέχρι τῆς ἀλογίας, ὡς τῶν μὲν παλαιῶν Ξενοκράτης καὶ Σπεύσιππος, τῶν δὲ νεωτέρων Ἰάμβλιχος καὶ Πλούταρχος· κτέ.

v. Zeller p. 1008, 4 2 ἀψύχου: ἐμφύχου; corr. Bernays, v. Thedinga De Numenio p. 71

56† [1] Philodemus de pietate fr. c. 7 b 1 Gomp.:

. . . ψυχὰς τῶν κα(λῶ)ν (κἀ-
γαθῶν θείας λέ(γ)ω(ν
δυνάμεις, πολὺ (δὲ κα-
ταδεεστέρας καὶ ἐλ-
λειπούσα(ς). παρ' Ἀρισ-
τοτέλει δ' ἐν τῷ τρί-
τῳ Περὶ φιλοσοφίας —

Diels Doxogr. gr. p. 538 b adn. 'Philodemea c. 7b 4—8, cum sint ante Aristotelem, ad Speusippum spectare posse' iudicat coll. Olymp. in Phaed. p. 98, 12 F. (fr. 55). 4 δὲ add. Diels Dox. p. 539

5. Ethica.

DE BEATITUDINE, BONIS, VIRTUTE [2]

57 Clemens Alexandr. Stromat. II 22, 133 p. 186, 19 Staehl.
Σπεύσιππός τε ὁ Πλάτωνος ἀδελφιδοῦς τὴν εὐδαιμονίαν φησὶν ἕξιν εἶναι τελείαν ἐν τοῖς κατὰ φύσιν ἔχουσιν, ἢ ἕξιν ἀγαθῶν, ἧς δὴ καταστάσεως ἅπαντας μὲν ἀνθρώπους ὄρεξιν ἔχειν, στο-

1) v. ad fr. 44
2) v. Zeller p. 1009, 2. 3

χάζεσθαι δὲ τοὺς ἀγαθοὺς τῆς ἀοχλησίας. εἶεν δ' ἂν αἱ ἀρεταὶ τῆς εὐδαιμονίας ἀπεργαστικαί.

cf. Rud. Hoyer de Antiocho Ascalonita (Diss. Bonn. 1883) p. 35 ss.

Cicero Tusculan. V 10, 30 non igitur facile concedo neque 58 a
Bruto meo neque communibus magistris nec veteribus illis, Aristoteli, Speusippo, Xenocrati, Polemoni, ut, cum ea, quae supra enumeravi (paupertas, ignobilitas, humilitas, solitudo, amissio suorum, graves dolores corporis, perdita valetudo alia similia) in malis numerent, iidem dicant semper beatum esse sapientem.

Cicero Tusculan. V 13, 39 hic (humanus animus) igitur 58 b
si est excultus, etsi eius acies ita curata est, ut ne caecaretur erroribus, fit perfecta mens, id est absoluta ratio, quod est idem virtus. Et, si omne beatum est, cui nihil deest, et quod in suo genere expletum atque cumulatum est, idque virtutis est proprium, certe omnes virtutis compotes beati sunt. Et hoc quidem mihi cum Bruto convenit, id est cum Aristotele, Xenocrate, Speusippo, Polemone. Sed mihi videntur etiam beatissimi.

Seneca epist. 85, 18 p. 324, 5 Hens. Xenocrates et 58 c
Speusippus putant beatum vel sola virtute fieri posse, non tamen unum bonum esse, quod honestum est.

Cicero Tusculan. V 31, 87 sequetur igitur horum (eorum 58 d
qui gravitatem dignitatemque virtutis exaggerant) ratione vel ad supplicium beata vita virtutem cumque ea descendet in taurum Aristotele, Xenocrate, Speusippo, Polemone auctoribus nec eam minis blandimentis corrupta deseret.

Cicero de legib. I 13, 37 Vahl. quocirca vereor committere, 58 e
ut non bene provisa et diligenter explorata principia ponantur, nec tamen ut omnibus probentur, nam id fieri non potest, sed ut eis, qui omnia recta atque honesta per se expetenda duxerunt et aut nihil omnino in bonis numerandum, nisi quod per se ipsum laudabile esset, aut certe nullum habendum magnum bonum, nisi quod vere laudari sua sponte posset: iis omnibus, sive in Academia vetere cum Speusippo, Xenocrate, Polemone manserunt, sive Aristotelem et Theophrastum . . . . . secuti sunt, sive . . . ., iis omnibus haec, quae dixi, probantur.

59 **Plutarchus de commun. notit. adv. Stoic. 13 p. 1065 a** ἄξιον δ' ἀναλαβεῖν τὸ δόγμα ταῖς ἐκείνου (Χρυσίππου) λέξεσιν, ἵνα καὶ μάθῃς πως, οἱ τοῦ Ξενοκράτους καὶ Σπευσίππου κατηγοροῦντες ἐπὶ τῷ τὴν ὑγίειαν ἀδιάφορον ἡγεῖσθαι μηδὲ τὸν πλοῦτον ἀνωφελὲς ἐν τίνι τόπῳ τὴν κακίαν αὐτοὶ τίθενται καὶ τίνας λόγους περὶ αὐτῆς διεξίασιν.

DE VOLUPTATE [1])

60 a **Aristoteles Eth. Nic. VII 14 1153 b 1** ἀλλὰ μὴν ὅτι ἡ λύπη κακόν, ὁμολογεῖται, καὶ φευκτόν. ἣ μὲν γὰρ ἁπλῶς κακόν, ἣ δὲ τῷ πῇ ἐμποδιστική· τῷ δὲ φευκτῷ τὸ ἐναντίον ᾗ φευκτόν τι καὶ κακόν, ἀγαθόν. ἀνάγκη οὖν τὴν ἡδονὴν ἀγαθόν τι εἶναι. ὡς γὰρ Σπεύσιππος ἔλυεν, οὐ συμβαίνει ἡ λύσις, ὥσπερ τὸ μεῖζον τῷ ἐλάττονι καὶ τῷ ἴσῳ ἐναντίον· οὐ γὰρ ἂν φαίη ὅπερ κακόν τι εἶναι τὴν ἡδονήν.

60 b **Aristoteles Eth. Nic. X 2. 1173 a 5** οὐκ ἔοικε δὲ οὐδὲ περὶ τοῦ ἐναντίου καλῶς λέγεσθαι. οὐ γάρ φασιν, εἰ ἡ λύπη κακόν ἐστι, τὴν ἡδονὴν ἀγαθὸν εἶναι· ἀντικεῖσθαι γὰρ καὶ κακὸν κακῷ καὶ ἄμφω τῷ μηδετέρῳ — λέγοντες ταῦτα οὐ κακῶς, οὐ μὴν ἐπί γε τῶν εἰρημένων ἀληθεύοντες. ἀμφοῖν γὰρ ὄντοιν ⟨τῶν⟩ κακῶν καὶ φευκτὰ ἔδει ἄμφω εἶναι, τῶν μηδετέρων δὲ μηδέτερον ἢ ὁμοίως· νῦν δὲ φαίνονται τὴν μὲν φεύγοντες ὡς κακόν, τὴν δ' αἱρούμενοι ὡς ἀγαθόν· οὕτω δὴ καὶ ἀντίκειται.

5 τῶν add. Bywater

60 c [**Aspasius in Aristot. Eth. Nic. VII 14. 1153 b 1 (fr. 60 a) p. 150, 3 Heylbut.** Σπεύσιππον δέ φασιν οὕτω δεικνύειν ὅτι ἡδονὴ ἀγαθόν ἐστιν· τὸ ἐναντίον ἀγαθῷ κακόν· ἐναντίον δὲ ἡ λύπη, κακὸν οὖσα, τῇ ἡδονῇ· ἀγαθὸν ἄρα. ὁ δὲ Ἀριστοτέλης οὐχ οὕτως τὸν λόγον ἠρώτηκεν, ἀλλ' ἐπηνορθώσατο εἰπών· τὸ ἐναντίον φευκτῷ ᾗ φευκτὸν ἀγαθόν· ἡ δὲ ἡδονὴ ἐναντίον τῇ λύπῃ φευκτῷ οὔσῃ καὶ οὐκ ἔστι κακόν — οὐδεὶς γὰρ ⟨ἂν⟩ εἴποι κακὸν τὴν ἡδονήν —· ἀγαθὸν ἄρα.

(l. 19 H.) Εἶτα ἐπιφέρει (ὁ Ἀριστοτέλης)· 'ὡς γὰρ Σπεύσιππος ἔλυεν, οὐ συμβαίνει ἡ λύσις'. ἤτοι δὲ λύσιν λέγει τὴν δεῖξιν ἢ τῷ ὄντι ἔλυε τὸν λόγον τῶν φασκόντων μὴ εἶναι ἀγαθὸν τὴν ἡδονήν· οὐ μὴν αὐτάρκως ἔλυε λέγων· τὸ ἐναντίον κακῷ ἀγαθόν. ἐναντίον δὲ τῇ λύπῃ κακῷ ὄντι ἡδονή· ἀγαθὸν ἄρα· κακῷ γὰρ οὐ μόνον τὸ ἀγαθὸν ἐναντίον ἀλλὰ καὶ τὸ κακὸν ὡς τῇ θρασύτητι οὐ μόνον ἡ ἀνδρεία ἐναντίον, ἀγαθὸν οὖσα, ἀλλὰ καὶ κακόν, ἡ δειλία· διόπερ ὡς ἐναντία † τοῦ λύσαντος αὐτὸν εἶναι ὀρθῶς θεὶς μὴ μόνον ἀγαθὸν εἶναι τῷ κακῷ ἐναντίον ἀλλὰ

1) v. Zeller p. 1009, 4; cf. etiam Hambruch Log. Regeln d. Platon. Schule in d. Aristot. Topik (Berol. 1904) p. 14.

καὶ κακόν.]

Aspasius non recte intellexit Aristotelis verba, cf. ceteror. in hunc Arist. loc. interpret.

Anonymus in eundem Aristot. locum (s. Heliodori nomine ed. ab Heylbut.) p. 158, 20 Heylbut. φανερὸν ὅτι ἀνάγκη πᾶσα τὸ ἐναντίον τῇ λύπῃ τὴν ἡδονήν, τὴν μὲν ἁπλῶς φευκτὴν εἶναι, τὴν δὲ πή· ἀνάγκη γὰρ τῷ ἁπλῶς κακῷ ἁπλῶς ἀγαθὸν εἶναι ἐναντίον, καὶ τῷ πὴ κακῷ τὸ πὴ ἀγαθόν· οὐ γὰρ ἡ Σπευσίππου λύσις καθ' ἣν ἐνιστάμενος λύειν ἐπιχειρεῖ τόνδε τὸν λόγον, συμβαίνει τῇ ἀληθείᾳ. φησὶ γάρ, ὅτι καθάπερ τὸ μεῖζον καὶ τὸ ἔλαττον ἐναντία ἐστὶ τῷ ἴσῳ καὶ ἐπὶ τῶν ἀρετῶν τὰ παρ' ἑκάτερα ἐναντία, τὸν αὐτὸν δὴ τρόπον καὶ τῇ ἀλυπίᾳ ἀντίκειται ἡ ἡδονὴ καὶ λύπη, ἡ μὲν ὡς μεῖζον, ἡ δὲ λύπη ὡς ἔλαττον, καὶ ἔστιν ἡ μὲν ἀλυπία ἀγαθόν, ἡ δὲ ἡδονὴ καὶ ἡ λύπη κακόν· οὗτος γὰρ ὁ λόγος παντελῶς ἄδοξός ἐστιν· οὐδενὶ γάρ ἡ ἡδονὴ κακὸν δοκεῖ· οὐδεὶς γὰρ ἂν φαίη τὴν ἡδονὴν αὐτὴν ὅπερ ἐστὶ κακὸν εἶναι. **60 d**

1 Heylbut. hunc anonymum sub Heliodori nomine edidit secutus Val. Rose Herm. v. II p. 212 s.; at v. Leop. Cohn B. phil. Woch. 1889 col. 1420.

Anonymus in eund. Aristot. locum (Eustrat. et Mich. et anonym. in Eth. Nic. comment.) p. 452, 26 Heylbut. εἰ οὖν ἡ λύπη κακὸν καὶ φευκτόν, τῷ δὲ φευκτῷ, καθὸ φευκτόν ἐστιν καὶ κακόν, ἐναντίον ἐστὶν τὸ ἀγαθόν, λείπεται ἄρα τὴν ἡδονὴν ἀγαθὸν εἶναι. ἐπὶ γὰρ τῶν ἀμέσων ἐναντίων ἐὰν θάτερον τὸ τῶν ἐναντίων κακόν ἐστιν, θάτερον ἔσται ἀγαθόν. ἐνδέχεται γὰρ εἶναι καὶ κακόν, οἷον ἀνδρεία δειλία καὶ θρασύτης. ἀντίκειται γὰρ τῇ δειλίᾳ καὶ ἡ ἀνδρεία καὶ ἡ θρασύτης. ἔνστασις τοῦ Σπευσίππου. ἔλεγεν ὁ Σπεύσιππος, ὅτι ὡς τὸ μεῖζον ἀντίκειται τῷ ἐλάττονι καὶ τῷ ἴσῳ, καὶ τὰ μὲν ἄκρα, ἤτοι τὸ μεῖζον καὶ τὸ ἔλαττον, ἐστὶν κακά, τὸ δὲ μέσον, ἤτοι τὸ ἴσον, ἀγαθόν ἐστιν, οὕτως καὶ ἡ ἡδονὴ ἀντίκειται τῇ ἀλυπίᾳ καὶ τῇ λύπῃ, καὶ τὰ μὲν ἄκρα, ἤτοι ἡ λύπη καὶ ἡ ἡδονή, εἰσὶ κακά, τὸ δὲ μέσον, ἤτοι ἡ ἀλυπία, ἀγαθόν ἐστιν. 'ὡς γὰρ ὁ Σπεύσιππος ἔλυεν', ὅτι καὶ ἡ ἡδονὴ καὶ ἡ λύπη κακόν ἐστιν, ἡ δὲ ἀλυπία ἀγαθόν, 'οὐ συμβαίνει ἡ λύσις', ὅτι οὐχ ὡμολόγηται τοῦτο πᾶσι. πάντες γὰρ ὁμολογοῦσι τὴν ἡδονὴν ἀγαθὸν εἶναι, καὶ οὐδεὶς ἂν φαίη τὴν ἡδονὴν εἶναι 'ὅπερ κακόν', ἤτοι ὡς ἐν γένει ἀνάγεσθαι τῷ κακῷ, καὶ εἶδος τοῦ κακοῦ τὴν ἡδονὴν εἶναι, ἤτοι εἶναι κακὸν τὴν ἡδονὴν οὐδεὶς ὁμολογεῖ. **60 e**

Schol. margin. in eund. Aristot. locum cod. Paris. 1854 ed. Cramer Anecd. gr. Paris. v. I p. 219, 16 ὁ Σπεύσιππος ἔλεγε τὴν λύπην καὶ τὴν ἡδονὴν ἐναντία κακὰ εἶναι, μέσον δὲ κατάστημα τὴν ἀλυπίαν· ἐλέγχεται δὲ κακῶς λέγων· οὐ γὰρ πᾶσα εὑρίσκεται ἡδονὴ φαύλη, ἀλλ' εἰσὶ καὶ ἡδοναὶ ἀγαθαί, οἷον αἱ τῶν σωφρόνων, οὐδὲ πανταχοῦ· ἢ πάντα ἔμμεσά εἰσι, ἵνα τῇ φυγῇ τῶν ἄκρων τὸ μέσον προκρίνωμεν. **60 f**

60 g Michaëlis Ephes. in Aristot. Eth. Nic. X 2. 1173a 5 (fr. 60b) p. 538, 35 Heylbut. ὁ ἐκ τοῦ ἐναντίου συνιστῶν τὴν ἡδονὴν ἀγαθὸν λόγος τοιοῦτος ἦν· εἰ ἡ λύπη ἐναντίον οὖσα τῇ ἡδονῇ κακόν ἐστιν, ἀγαθὸν ἄρα ἡ ἡδονή. πόθεν δ' ὅτι ἡ λύπη κακόν; ἐκ τοῦ πάντας φεύγειν αὐτήν. πρὸς τοῦτον τὸν λόγον τὸν ἐκ τοῦ ἐναντίου συνιστῶντα τὴν ἡδονὴν ἀγαθὸν ἐνίστατο ὁ Σπεύσιππος λέγων· οὐκ ἀνάγκη, ἐπειδὴ κακόν ἐστιν ἡ λύπη, ἀγαθὸν εἶναι τὴν ἀντικειμένην αὐτῇ ἡδονήν. οὐ γὰρ πᾶν τὸ ἀντικείμενον κακῷ ἀγαθόν ἐστιν. ἀντίκειται γὰρ τῇ θρασύτητι κακῷ ὄντι ἡ δειλία καὶ οὐκ ἔστιν ἀγαθὸν ἡ δειλία ἀλλὰ κακόν, καὶ τῇ ἠλιθιότητι κακῇ οὔσῃ ἀντίκειται ἡ ἀκολασία κακὸν οὖσα καὶ αὕτη ὁμοίως, καὶ ἡ ἀνελευθεριότης τῇ ἀσωτίᾳ κακαὶ οὖσαι ἀμφότεραι. ἀντίκειται οὖν, φησὶ Σπεύσιππος, καὶ κακὸν κακῷ καὶ ἄμφω τῷ μηδετέρῳ, τουτέστι καὶ ἄμφω τὰ κακὰ τῷ ἀγαθῷ. μηδέτερον γὰρ τὸ ἀγαθὸν εἶπεν· αἱ γὰρ ἀρεταὶ μεσότητες οὖσαι οὐδέτερον τῶν ἄκρων εἰσίν. ἡ γὰρ ἀνδρεία οὔτε δειλία οὔτε θρασύτης ἐστί, καὶ ἡ σωφροσύνη οὔτε ἀκολασία οὔτε ἠλιθιότης, καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν ὁμοίως. καὶ λέγει ταῦτα καλῶς· ἀληθὲς γάρ ἐστι τὸ λέγειν, ὅτι ἀντίκειται κακὸν κακῷ καὶ ἀμφότερα τὰ κακὰ τῷ ἀγαθῷ. τοῦτο μὲν οὖν λέγουσι καλῶς· τὸ δ' ὅτι ἡ ἡδονὴ ὡς κακὸν κακῷ ἀντίκειται τῇ λύπῃ λέγουσιν οὐ καλῶς. οὐ γὰρ ἀντίκειται ἡ ἡδονὴ τῇ λύπῃ ὡς κακὸν κακῷ ἀλλ' ὡς ἀγαθὸν κακῷ. εἰ γὰρ ἦν κακὸν ἡ ἡδονή, ἦν καὶ φευκτὸν καὶ μισητὸν ὡς ἡ λύπη. νῦν δὲ τὴν μὲν λύπην φεύγει πάντα καὶ ἀποστρέφεται ὡς κακόν, διώκει δὲ καὶ ἐπιτρέχει τὴν ἡδονὴν ὡς ἀγαθόν. κτέ.

60 h Anonymus in eund. Aristot. locum (s. Heliodori nomin. ed. ab Heylb.) p. 211, 37 Heylbut. καὶ πρὸς μὲν τὸν πρῶτον τοῦ Εὐδόξου λόγον ταύτην κομίζουσι τὴν ἔνστασιν, πρὸς δὲ τὸν δεύτερον, ὃς ἐκ τοῦ ἐναντίου ἐστὶν εἰλημμένος, ἐκείνην· οὐκ ἀνάγκη, φασίν, εἰ ἡ λύπη κακόν ἐστι, τὴν ἡδονὴν ἀγαθὸν εἶναι· οὐ γὰρ εἴ τι κακόν, τὸ ἐναντίον αὐτῷ ἀγαθόν· ἔστι γὰρ ἐναντίον κακὸν κακῷ· ἡ γὰρ ἠλιθιότης τῇ ἀκολασίᾳ ἐναντίον ἐστίν, ἀμφοτέρων οὐσῶν κακῶν, καὶ ἀμφότερα τῇ σωφροσύνῃ. ταῦτα μὲν οὖν καλῶς λέγουσιν, οὐ μὴν ἐπί γε τῆς ἡδονῆς ἀληθεύουσιν. εἰ γὰρ κτέ.

1 v. ad fr. 60d.

60 i Gellius Noct. Attic. IX 5, 4 Hos. Speusippus vetusque omnis Academia voluptatem et dolorem duo mala esse dicunt opposita inter sese, bonum tamen esse, quod utriusque medium foret.

6. Varia fragmenta.

DE APOLLINIS NOMINE

Macrobius Saturnal. I 17, 7 Eyssenh.[2] Apollinis nomen 61
multiplici interpretatione ad solem refertur, cuius rei ordinem pergam. Plato solem Ἀπόλλωνα scribit cognominatum .... Chrysippus ...., Speusippus quod ex multis ignibus constet vis eius ὡς ἀπὸ πολλῶν οὐσιῶν πυρὸς αὐτοῦ συνεστῶτος, Cleanthes eqs.

Macrobii hoc caput fluxisse ex Apollodori Περὶ θεῶν libris demonstravit R. Muenzel de Apollodori Περὶ θεῶν libris (diss. Bonn. a. 1883) p. 14 ss. Desumpta autem esse Apollodorea a Macrobio e Jamblicho idem statuit secutus G. Wissowa de Macrob. Saturnal. font. cap. III (dissert. Vratislav. a. 1880 p. 35 ss.); contra nunc C. Reinhardt de Graecorum theologia (diss. Berol. a. 1910) p. 103 ss. non Jamblichum, sed Porphyrium expilatum esse a Macrobio contendit.

PLATONICA A SPEUSIPPO TRADITA

Simplicius in Aristot. Phys. I 4. 187 a 12 p. 151, 6 Diels. 62
λέγει δὲ ὁ Ἀλέξανδρος ὅτι ‘κατὰ Πλάτωνα πάντων ἀρχαὶ καὶ αὐτῶν τῶν ἰδεῶν τό τε ἕν ἐστι καὶ ἡ ἀόριστος δυάς, ἣν μέγα καὶ μικρὸν ἔλεγεν, ὡς καὶ ἐν τοῖς Περὶ τἀγαθοῦ Ἀριστοτέλης μνημονεύει’. λάβοι δὲ ἄν τις καὶ παρὰ Σπευσίππου καὶ παρὰ Ξενοκράτους καὶ τῶν ἄλλων, οἳ παρεγένοντο ἐν τῇ Περὶ τἀγαθοῦ Πλάτωνος ἀκροάσει· πάντες γὰρ συνέγραψαν καὶ διεσώσαντο τὴν δόξαν αὐτοῦ καὶ ταύταις αὐτὸν ἀρχαῖς χρῆσθαι λέγουσι.

v. Zeller p. 416, 6; cf. Simplic. p. 453, 28 ss. 454, 19 ss.
2 Alexander in Met. p. 56, 33 ss. Hayd. 4 cf. Aristot. fr. 28 Ros.

Speusippum Isocratis ἀπόρρητα publici iuris fecisse

Diogenes Laërtius IV 2 καὶ πρῶτος (ὁ Σπεύσιππος) παρὰ 63
Ἰσοκράτους τὰ καλούμενα ἀπόρρητα ἐξήνεγκεν, ὥς φησι Καινεύς.

cf. p. 39

Speusippum sermones convivales enarrasse 64

Plutarchus quaest. conviv. I prooem. p. 612 d ἐπεὶ δὲ καὶ σοὶ δοκεῖ τῶν μὲν ἀτόπων ἡ λήθη τῷ ὄντι σοφὴ κατ' Εὐριπίδην εἶναι· τὸ δ' ὅλως ἀμνημονεῖν τῶν ἐν οἴνῳ μὴ μόνον τῷ φιλοποιῷ λεγομένῳ

μάχεσθαι τῆς τραπέζης, ἀλλὰ καὶ τῶν φιλοσόφων τοὺς ἐλλογιμωτάτους ἀντιμαρτυροῦντας ἔχειν, Πλάτωνα καὶ Ξενοφῶντα καὶ Ἀριστοτέλην καὶ Σπεύσιππον, Ἐπίκουρόν τε καὶ Πρύτανιν καὶ Ἱερώνυμον καὶ Δίωνα τὸν ἐξ Ἀκαδημείας, ὡς ἄξιόν τινος σπουδῆς πεποιημένους ἔργον ἀναγράψασθαι λόγους παρὰ πότον γενομένους· ᾠήθης τε δεῖν . . .· πρὸς τοῦτο γενόμενος τρία μὲν ἤδη σοι πέπομφα τῶν βιβλίων κτλ.

v. p. 34.

IV. Epigrammata.

IN PLATONEM

65 Antholog. Planud. 31 Duebn.:

Σπευσίππου.

Σῶμα μὲν ἐν κόλποις κατέχει τόδε γαῖα Πλάτωνος,
ψυχὴ δ' ἰσοθέων τάξιν ἔχει μακάρων.

v. Th. Bergk PLGr II^{4} p. 329 s. Th. Preger Inscript. graec. metr. (Lips. 1891) p. 9 ss. — Idem epigramma duobus versibus auctum servavit Diog. Laërt. III 44:

Γαῖα μὲν ἐν κόλπῳ κρύπτει τόδε σῶμα Πλάτωνος,
ψυχὴ δ' ἀθανάτων τάξιν ἔχει μακάρων·
υἱοῦ Ἀρίστωνος τόν τις καὶ τηλόθι ναίων
τιμᾷ ἀνὴρ ἀγαθὸς θεῖον ἰδόντα βίον.

Quod epigr. etiam invenitur in Anthol. Palat. VII 61 (v. II p. 43 Stadtm., ubi cf. lect. var.). — Ceterum illam, quam Anthol. Planud. 31 praebet, epigrammatis formam genuinam esse verisimillimum est; v. Bergk et Preger l. c. — 1 Nomen auctoris Σπευσίππου om. syll. Euphem. 3 κόλπῳ Euph. 4 ἰσόθεον Euph., ἰσόθεος coni. Bergk l. c. coll. Hesych. i. v. ἰσόθεος; idem ψυχὴν δ' ἰσόθεον τάξις proponit (etiam F. Rühl Fleckeis. Jahrb. v. 47 (1878) p. 311, nisi quod hic ἰσοθέων praefert).

IN GRATIAS

66 Τάσδε θεαῖσι θεὰς Χάριτας Μούσαις ἀνέθηκεν
Σπεύσιππος λογίων εἵνεκα δῶρα τελῶν.

Academic. philosoph. index Herculan. p. 37, 30 Mekler.:

(Σπεύ)σιππ(ο)ν (δ' εἰκό-
νας Χαρίτων ἔ)τ' οὔ(σας ἀνα-
θεῖναί φησ)ι Φιλ(όχορος καὶ
κατε)χο(ύσας) τὸ μουσεῖ(ον,
ἐφ' α(ἷ)ς ἐ(πιγέ)γρα(π)ται·

Τά(σ-
δε [illegible](εαῖσι) θεὰς Χάριτας Μ(ού-
σαις (ἀ)νέ⟨θη⟩κεν Σπεύσιππ(ος
λο(γί)ων (εἵν)εκα δῶρα τε-
λῶν.

cf. Diog. L. IV 1 Χαρίτων τ' ἀγάλματ' ἀνέθηκεν (ὁ Σπεύσιππος) ἐν τῷ μουσείῳ τῷ ὑπὸ Πλάτωνος ἐν Ἀκαδημείᾳ ἱδρυθέντι.

12 λογίων Gomp. σοφίης Buech. πολλῶν Wilam.

Dicta Speusippi[1]).

Stobaeus Floril. v. IV p. 101, 18 Mein. Σπευσίππῳ παραλυθέντι τὰ σκέλη Διογένης ἐξαγαγεῖν αὐτὸν τοῦ βίου παρῄνει, ὁ δὲ 'οὐ τοῖς σκέλεσιν', ἔφη, 'ζῶμεν, ἀλλὰ τῷ νῷ'. (cf. Diog. Laërt. IV 3 Φασὶ δὲ αὐτὸν (τὸν Σπεύσιππον) ἐπ' ἁμαξίου φερόμενον εἰς τὴν Ἀκαδήμειαν συναντῆσαι Διογένει καὶ 'χαῖρε' εἰπεῖν· τὸν δὲ φάναι· 'ἀλλὰ μὴ σύ γε, ὅστις ὑπομένεις ζῆν τοιοῦτος ὤν').

Diogenes Laërtius IV 4 Οὗτος (ὁ Σπεύσιππος), φησὶ (Τιμόθεος), πρὸς τὸν ἐρῶντα πλούσιον ἀμόρφου, ἔφη· 'τί δέ σοι δεῖ τούτου; ἐγὼ γάρ σοι δέκα ταλάντων εὐμορφοτέραν εὑρήσω'.

---

1) De his v. Fr. Leo Die gr. röm. Biogr. p. 58.

Argumentum.

Vita.

Natus sum Paulus Ludovicus Fridericus Lang Memmingae oppido Bavariae a. d. XIII Kal. Novembr. anni MDCCCLXXXII patre Adolfo matre Fanny e gente Gussmann. Fidei addictus sum evangelicae. Inde ab anno MDCCCXCII discipulus fui progymnasii qu. d. Memmingensis per quinque annos, deinde gymnasii Stuttgartiensis, quod Caroli regis nomen fert, in quo mense Augusto anni MCMII maturitatis testimoninm adeptus sum. Deinde per duodecim menses militavi Cannstadiae oppido Wurttembergiae. Autumno anni MCMIII, ut in iuris studia incumberem, Tubingam me contuli. Vere anni insequentis Bonnam petivi ibique usque adhuc studiis philologis et archaeologis operam dedi.

Docuerunt me viri doctissimi Busch, Lange, Maier, Rietschel, Wendt † Tubingenses; Bezold, Brinkmann, Buecheler †, Clemen, Deubner, Dyroff, Elter, Erdmann, Jaeger †, Karo, Kuelpe, Litzmann, Loeschcke, Marx, de Mess, Nissen, Solmsen †, Usener † Bonnenses. Insigni Brinkmanni Elteri Marxii beneficio in seminarium philologum Bonnense receptus sum, cuius per bis sex menses fui sodalis ordinarius; in seminarium eorum, quos necessitudines linguarum formasque doceret, Solmsen † liberalissime me admisit, exercitationibus ut interessem archaeologis Karo et Loeschcke, philologis Brinkmann, Buecheler, Deubner, Elter, epigraphicis Karo benigne concesserunt.

Quibus viris omnibus gratiam habeo maximam, imprimis vero Augusto Brinkmann, qui studia mea semper egregia benevolentia moderatus est auxitque.